# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tjc-aa

*Μιχαὴλ Ἀποστόλιος ὁ Παροιμιογράφος* · Michael Apostolius the Proverb-Writer

# Collection of Proverbs

*Συλλογὴ Παροιμιῶν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Βυζαντινὴ Ἑλληνική* Byzantine Greek
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

t 1 ΜΙΧΑΗΛΟΥ ΑΠΟΣΤΟΛΟΥ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ ΣΥΝΑΓΩΓΗ ΠΑΡΟΙΜΙΩΝ ΚΑΙ ΣΥΝΘΗΚΗ, ΟΥΚ ΑΝΕΥ ΓΕ ΤΟΥ ΚΑΙ ῞ΟΘΕΝ ΑΙ ΠΛΕΙΟΥΣ ΕΣΧΗΚΑΣΙ ΤΑΣ ΑΡΧΑΣ. ΤΩι ΕΝΔΟΞΟΤΑΤΩι ΚΑΙ ΣΟΦΩΤΑΤΩι ΑΝΔΡΙ ΚΥΡΙΩι ΛΑΥΡΩι ΤΩι ΚΥΡΙΝΩι. Ἃ μὲν ὑπέστην ἐν Κρήτῃ σοι, τὴν τῶν παροιμιῶν συναγωγὴν καὶ συνθήκην, οὐκ ἄνευ γε τοῦ καὶ ὅθεν αἱ πλείους ἐσχήκασι τὰς ἀρχάς, ταῦτά μοι διανυσθέντα ἰδού σοι πέμπεται, ἄνερ ἐνδοξότατε καὶ σοφώτατε.

p 1 εἰ δὲ βραδύτερον ἢ ἐβούλου, οὐχ ἡμῶν γε τουτί, ἀλλὰ τῆς τύχης δή που καὶ τοῦ καιροῦ, ὅτῳ γε δὴ καὶ ἡμῶν ἀκόντων ἅπαν περαίνεται, ᾗ δοκεῖ. ἄλλως τε κρεῖττον ἂν εἴη, βραδύναντας τὸ βουλόμενον κατορθῶσαι ἄξιόν τινος λόγου, ἢ ταχύναντας οὐδενός· τὸ μὲν γὰρ οὐ τίμιον· τὸ δὲ οὐκ ἄτιμον. ἔχεις τοίνυν λαβὼν τὸ ὑπεσχημένον σοι, κἀμοὶ πέρας εἴληφε λαβὸν τὸ ἐπίταγμα· εἰ μὲν κατ' ἀρέσκειαν καὶ βούλησιν ὑμετέραν, θεῷ καὶ σοὶ χάρις· εἰ δ' οὐ, κοινωνεῖν σε δίκαιόν μοι τοῦ πάθους· κοινὰ γὰρ εἶναι τοῖς σοφοῖς τὰ τῶν φίλων πεπαροιμίασται. Ἵνα δὲ μή τις ἡμῶν τῶν ἑταίρων ἐπιλάβοιτο, ὡς μή, συναγωγὴν παροιμιῶν ποιουμένων, τὴν παροιμίαν ὁριζομένων, ᾗ δὴ καὶ ὁ σοφὸς Κικέρων ἐπελάβετο Παναιτίου, συγγεγραφότος μὲν περὶ τοῦ καθήκοντος, τί δὲ ὄν ἐστιν οὐδαμοῦ εἰπόντος αὐτῷ τοῦ συγγράμματος, ὁριστέον ἂν εἴη τὴν παροιμίαν, ᾗ λαβόντες ἄνωθεν ἔχομεν.

p 3 Παροιμία μὲν οὖν ἐστὶ λόγος ἐπικαλύπτων τὸ σαφὲς ἀσαφείᾳ· ἢ δι' αἰσθητῶν πραγμάτων σημαίνων πράγματα νοητά· ἢ ἐπικεκρυμμένως τὴν ἀλήθειαν ἐπεμφαίνων. Καὶ ἔτι τόνδε τὸν τρόπον· παροιμία ἐστὶ διήγημα παροδικὸν, ἢ ῥῆμα τετριμμένον ἐν τῇ χρήσει τῶν γε πολλῶν, ἀπό τε μικρῶν τινῶν καὶ ὀλίγων ἐφ' ὅμοια πλείω καὶ μείζω μεταληφθῆναι δυνάμενον· ἢ λόγος ἐπιτετηδευμένος τοῖς ἤθεσι καὶ τῇ ἀνθρωπίνῃ ζωῇ κατὰ τὸ ἔθος τῶν ζώντων.

p 4 καὶ ἔτι γε οὑτωσί· Παροιμίᾳ ἐστὶ λόγος ὠφέλιμος, ἤτοι βιωφελής, ἐπικρύψει μετρίᾳ πολὺ τὸ χρήσιμον ἔχων ἐν ἑαυτῷ· ἢ λόγος προτρεπτικὸς παρὰ πᾶσαν τοῦ βίου τὴν ὁδὸν χρησιμεύων. Διαφέρει δὲ τοῦ αἴνου· ὅτι ὁ μὲν αἶνος ἐστὶ λόγος μυθικός, ἐκφερόμενος ἀπὸ ἀλόγων ζῴων ἢ φυτῶν πρὸς ἀνθρώπων παραίνεσιν.

p 5 ἢ λόγος εὐκτικός, ἤτοι παρακλητικός, ἐκ δημιουργημάτων καὶ κατορθωμάτων μνημονευόμενος. Ἢ παροιμία ἐξηπλωμένη μετὰ διηγήσεως, ἀπαρτίζουσα τὸ νοούμενον. ἢ λόγος κατὰ ἀναπόλησιν μυθικὴν ἀπὸ ἀλόγων ζῴων καὶ φυτῶν πρὸς ἀνθρώπους εἰρημένος, ὡς φησὶ Λούκιος Ταῤῥαῖος ἐν τῷ πρώτῳ περὶ παροιμιῶν· οἷον ἀπὸ μὲν ἀλόγων ζῴων, ὡς παρ' Ἀρχιλόχῳ· Αἶνός τις ἀνθρώπων ὅδ ε , ὡς ἄ ρ ' ἀλώπηξ κάετὸς ξυνωνίην ἔθεντ ο . καὶ τὰ ἑξῆς.

καὶ πάλιν· Ἐρέω τι ν ’ ὑμῖν αἶνο ν , ὦ Κηρυδίκη ἀχνυμένη σκυτάλη · εἶτ’ ἐπιφέρει· Πίθηκος ᾔει θηρίων ἀποκριθεὶς μοῦνος ἀ ν ’ ἐσχατιήν · τῷ δ ’ ἄ ρ ’ ἀλώπηξ κερδαλῆ συνήντετο πυκνὸν ἔχουσα νόο ν . Καὶ Ἡσίοδος· Νῦν δ ’ αἶνον βασιλεῦ ς ’ ἐρέ ω , νοέουσι καὶ αὐτοῖς · ὦ δ ’ ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρο ν . ἀπὸ δὲ φυτῶν· ὡς ἔχει τὸ τοῦ Καλλιμάχου· Ἄκουε δὴ τὸν αἶνο ν , ἐν κότε Τμώλῳ δάφνην ἐλαίᾳ νεῖκος οἱ πάλαι Λυδοὶ λέγουσι θέσθα ι . Ἡ δὲ παροιμία τὴν ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει, ἐνδέουσαν τοῦ αἴνου, καὶ τὴν ἔξωθεν ἐνδεχομένη μετάβασιν· οἷον· μένε βοῦς ποτε βοτάνην · καὶ· ἄκισσος με τ ’ Ἀνθεστήρι α . Ἐτυμολογεῖται δὲ ὁ μὲν αἶνος παρὰ τὸ ἰένω τὸ πέμπω καὶ διαχέω.

p 6 ἰαίνεται γὰρ καὶ διαχέεται ἡ ψυχὴ τῇ διηγήσει τῶν τοιῶνδε λόγων· ἴαινος καὶ ἀφαιρέσει, αἶνος· ὁ τὴν διάνοιαν ἰαίνων καὶ περιτέρπων. Ὅμηρος· ἰαίνετο δὲ φρένας εἴσ ω . Ἡ δὲ παροιμία ἐκ τῆς παρὰ προθέσεως καὶ τοῦ οἶμος ἡ ὁδός· παραοιμία καὶ παροιμία· ἤτοι τὸ παροδικὸν τρίμμα τε καὶ διήγημα.

p 8 ἐν γὰρ τῇ ἀρχῇ ἔτι τῶν τρίβων ἀσήμων οὐσῶν, διὰ τὸ τοὺς ὁδεύοντας μὴ ἀποκάμνειν τῷ μὴ γινώσκειν πόσον τῆς ὁδοῦ διήνυσαν καὶ τί λείπεται, τὰ νῦν προσαγορευόμενα μίλια πρὸς Ῥωμαίων, τότε σημεῖα καλούμενα, οἱ παλαιοὶ κατά τινας τῆς ὁδοῦ τόπους ἐτίθεσαν· καὶ τούτοις ἐπέγραφόν τινα ζητήματα. τοῦτο δὲ ἐποίουν δυοῖν ἕνεκεν, τοῦ τε γνωρίζειν τὸν ὁδεύοντα τῆς ὁδοῦ τὸ ποσόν, καὶ τοῦ ἀναγινώσκοντα τὸ ἐπίγραμμα, καὶ περὶ τὴν τούτου σαφήνειαν καταγιγνόμενον καμάτου ἐπικουφίζεσθαι. περιέχει δὲ παίδευσιν ἠθῶν καὶ παθῶν ἐπανόρθωσιν καὶ τῶν πρακτέων πυκνὰς ὑποθήκας. Καὶ περὶ μὲν ἐτυμολογίας καὶ διαφορᾶς αἴνου καὶ παροιμίας, ἔτι τε περὶ τῶν ὅρων αὐτῶν, ἔχουσι φάναι καὶ ἄλλα ἔστω ἡμῖν εἰρημένα τοσάδε· ἰτητέον δ’ ἂν εἴη λοιπὸν πρὸς τὸ προκείμενον σύν γε θεῷ ἵλεῳ καὶ συνεργῷ:— Ἀρχὴ τοῦ α μετὰ τοῦ β.

1 1 Ἀβυδηνῶν ἐπιφόρημα : ἐπὶ τῶν ἀηδῶν εἴωθε τάττεσθαι. ἔθος γὰρ ἦν τοῖς Ἀβυδηνοῖς μετὰ τὸν δεῖπνον καὶ τὰς σπονδὰς προσάγειν τοὺς παῖδας τῶν τιτθῶν τοῖς εὐωχουμένοις· κεκραγότων δὲ τῶν παίδων, καὶ θορύβου γενομένου, ἀηδίαν πολλὴν εἶναι τοῖς δαιτυμόσιν. Ἄβυδος ἐστίν : ἐπὶ συκοφάντου τάττεται, διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς.

1 3 Ἀβασάνιστος ἄνθρωπος εἶ : ἀγύμναστος ἢ ἀνεξέταστος, ἀδοκίμαστος. Εἴρηται δὲ ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκοῖς λίθου, ἐν ᾗ δοκιμάζουσι τὸν χρυσόν. Ἅβρωνος βίος : ὁ πολυτελής.

1 4 Ἅβρων γάρ τις ἐγένετο πλούσιος· ὅθεν καὶ ἁβροδίαιτος· ταὐτὸν καὶ Σικελικὴ τράπεζα καὶ Συβαριτικὸς βίο ς . Τὸ α μετὰ τοῦ γ.

1 5 Ἀγαθῶν θάλασσα : ἐπὶ πολλῶν ἀγαθῶν καὶ μεγάλων τάσσεται. Λέγεται δὲ καὶ ἀγαθῶν πόντος καὶ ἀγαθῶν σωρό ς . Ἀγαθῶν μυρμηκιά : ἐπὶ πλήθους εὐδαιμονίας· διὰ τὸ ἐνεργὸν καὶ πολύμοχθον τῶν μυρμήκων ⁝ Φασὶ δὲ αὐτοὺς τὴν ἑαυτῶν γεωργίαν ἐργάζεσθαι σκολιωτάτην, τοῖς ἐπιβουλεύουσί σφισι τῶν θηρίων τὴν πάροδον δύσπορον ἢ καὶ παντελῶς ἄπορον ἀποφαίνοντες.

1 6 τὴν δὲ γῆν, ἣν ἐξορύττουσιν, ἀλλὰ καὶ ταύτην ὑπὲρ τοῦ στομίου περιβαλόντες οἱονεὶ τείχη τινὰ ἐργάζονται, ὡς μὴ τὸ ὕδωρ τὸ ἐξ οὐρανοῦ καταθέον ἐπικλύσαν αὐτοὺς ἀπολέσῃ. Αἱμασιὰς δέ τινας διειργούσας ἀπ’ ἀλλήλων τοὺς χηραμοὺς διασχίζουσιν, εἶεν δ’ ἂν οἱ χῶροι τρεῖς· καὶ τὸν μὲν ἀποφαίνουσιν ὅσον ἀνδρῶν εἶναι, ἐν ᾧ διαιτῶνται οἱ ἄῤῥενες καὶ ὅσον σὺν αὐτοῖς θῆλυ· τὸν δὲ ἕτερον, ἔνθα ἀποτίκτουσι κύουσαι μύρμηκες, οἱονεὶ γυναικῶνα· τρίτον δ’ ἕτερον θησαυρόν τε καὶ σιρὸν ἀποκρίνουσι τοῖς ἠθροισμένοις σπέρμασιν. Οἱ δὲ μύρμηκες, ὥσπερ οὖν ἐπισιτίσασθαι προϊόντες, τοῖς μεγίστοις ἕπονται, οἱ δὲ ἄγουσι στρατηγῶν δίκην· καὶ ἐς τὰ λήϊα ἐλθόντες, οἱ μὲν ἔτι νεαροὶ τὴν καλάμην ὑφεστᾶσιν, οἱ δὲ ἡγεμόνες ἀνέρπουσι, καὶ τοὺς καλάμους οὐραχοὺς τῶν καρπίμων διατραγόντες, τῷ δήδῳ τῷ κάτω ῥίπτουσιν· οἱ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιελθόντες τοὺς μὲν ἀθέρας ἀποκόπτουσιν, ἐκλέπουσι δὲ τὰς τὸν πυρὸν στεγούσας καὶ περιαμπεχούσας θυλακίδας· καὶ μήτε ἀλοητοῦ δεόμενοι, μήτε ἀνδρῶν λικμῆσαι δυναμένων, μήτε μὴν ἐπειγομένων πνευμάτων ἀποκρῖναι καὶ διασῆσαι τὰς ἄχνας καὶ τὸν καρπόν, ἀνθρώπων ἀρούντων τε καὶ σπειρόντων τροφὰς ἔχουσι. Καὶ τοὺς τεθνεῶτας δὲ μύρμηκας οἱ προσήκοντες ἐν ταῖς τῶν πυρῶν κηδεύουσι θυλακίσιν, ὡς πατέρας ἢ πᾶν τὸ φίλιον ἐν τοῖς σοροῖς οἱ ἄνθρωποι ⋮ Φασὶ δὲ αὐτοὺς ὡς ἐν ταῖς πανσελήνοις οὐδὲ νύκτωρ βλακεύουσιν οὐδὲ ἐλιννύουσιν, ἀλλ’ ἔχονται τῆς σπουδῆς. ὦ ἄνθρωποι, μυρίας προφάσεις καὶ σκήψεις εἰς τὸ ῥᾳστωνεύεσθαι ἐπινοοῦντες. Ἀγαθώνειος αὔλησις : ἡ μήτε χαλαρὰ μήτε πικρὰ, ἀλλ’ εὔκρατος καὶ ἡδίστη, μαλακὴ καὶ ἐκλελυμένη.

1 7 ἀπὸ Ἀγάθωνος αὐλητοῦ. οὗτος ἀγαθὸς ἦν τὸν τρόπον καὶ ποθεινὸς τοῖς φίλοις. ἐκωμῳδεῖτο δὲ εἰς θηλύτητα. Ἀγαθὴ καὶ μᾶζα με τ ’ ἄρτον : ἐπὶ τῶν τὰ δεύτερά τισι διδόντων.

1 8 Ὁμοία τῇ· Δέχεται καὶ βῶλον ἀλήτη ς . Ἀγαθὸς ψάλτης , ἀγαθὸς ζωμοποιός : ὡς οὐδὲν διάφορον ἡ δι’ ὀργάνων φωνὴ ἡδονὴν ἐμποιεῖ τῆς δι’ ὄψων καὶ ζωμοῦ σκευασίας.

1 9 Ἀρχίδαμος γὰρ ὁ Ζευξίππου πρὸς τὸν συνιστάντα ψάλτην καὶ εἰπόντα, οὗτος ἀγαθὸς ψάλτης ἐστίν, εἶπε· παρ’ ἡμῖν δέ γε οὗτος ἀγαθὸς ζωμοποιός. πρὸς δὲ τὸν ἐπαινοῦντα κιθαρῳδὸν καὶ θαυμάζοντα τὴν δύναμιν αὐτοῦ, ὦ λῷστε, ἔφη, ποῖον γέρας παρὰ σοῦ τοῖς ἀγαθοῖς ἀνδράσιν ἔσται, ὅταν οὕτως ἐπαινῇς. Ἀγαθοῦ Δαίμονος : ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸ δεῖπνον πίνειν Ἀγαθοῦ Δαίμονος ἐπιῤῥοφοῦντες ἄκρατον, καὶ τοῦτο δὲ τρίτον.

1 10 Καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς οὕτως ἐκάλουν. Καὶ ἐν Θήβαις ἦν ἡρῷον Ἀγαθοῦ Δαίμονος. Ἀγαθὰ Κιλίκων : ἐπὶ τῶν ἀπὸ τῶν οὐ προσηκόντων πλουτούντων.

1 11 Προδότης γάρ τις τῶν Κιλίκων Μίλητον προδοὺς ηὐπόρησεν. Ἀγέλαστος πέτρα : ἐπὶ τῶν λύπης προξένων· ἐπ’ αὐτῆς γὰρ ἐκάθισεν ὅτε ἐζήτει τὴν κόρην ἡ Δημήτηρ.

1 13 Ἁγνότερος πηδαλίου : ἐπὶ τῶν ἁγνῶς βιούντων· παρόσον ἐν θαλάσσῃ ἐστὶν ἀεὶ τὸ πηδάλιον. Ἀγαθῶν ἀγαθίδες : ἐπὶ πολλῶν ἀγαθῶν λέγεται.

1 15 Ἁγνὴ γάμων : ἐπὶ τῶν σωφρόνων γυναικῶν· εἰρωνικῶς δὲ καὶ ἐπὶ τῶν μὴ σωφρόνων. Ἀγρὸς ἡ πόλις : ἐπὶ τῶν παρανομούντων.

1 16 Ἐπίχαρμος· Ἀγρὸν τὴν πόλιν ποιεῖ ς . Ἀγορὰ λύκιος : ἐπὶ τῶν ταχέως πιπρασκομένων· ἐκ μεταφορᾶς τοῦ ζῴου· ἁρπακτικὸν γάρ.

1 18 Ἀγορὰ Κερκώπων : ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέσῳ, οἳ καὶ τὸν Δία ἐξαπατῆσαι πεπείρανται. ὁμοία τῇ, Λύκων δεκὰς · καί, Κρομύλου ζεῦγο ς . Ἀγύριός ἐστι Προνόμου πώγω ν ’ ἔχων : ἐπὶ τῶν ψηνιζομένων καὶ ὀπυομένων.

1 19 οὗτος στρατηγὸς ἦν ἐν Λήμνῳ. καὶ τὸν μισθὸν τῶν ποιητῶν συνέτεμε. καὶ πρῶτος ἐκκλησιαστικὸν δέδωκεν. ὁ δὲ Πρόνομος αὐλητὴς ἦν μέγαν ἔχων πώγωνα. Ἀγόμενος διὰ φρατόρων κύων : ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων.

1 20 ἐν γὰρ τοῖς φράτορσι κύων εὑρεθεὶς τιμωρεῖται. Ἀγραπτότατος βάτος αὗος : ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον.

1 22 Ἀγεωμέτρητος μηδεὶς εἰσίτω : ἀντὶ τοῦ ἄδικος καὶ ἄνισος. ἡ γὰρ γεωμετρία τὴν ἰσότητα καὶ τὴν δικαιοσύνην ζητεῖ. Ἀγρίπου ἀκαρπότερος : ἔστι δὲ ἄγριπος ἡ ἀγριελαία.

1 24 Ἀγροίκου μὴ καταφρόνει ῥήτορος : ὑποθετική· ὅτι μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν. Ἀγὼν οὐ δέχεται σκήψεις : ἐπὶ τῶν μηδὲν ὀνιναμένων εἰ σκήψαιντο.

1 26 Ἀγαμέμνονος θυσία : ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν. θύοντος γὰρ Ἀγαμέμνονος ὁ βοῦς φυγὼν μόλις ἐλήφθη. Ἢ ὅτι τὴν ἑαυτοῦ ἐβούλετο Ἀγαμέμνων θυσιάσαι θυγατέρα· ἣ δ’ ἔφυγε. Ἀγαμεμνόνεια φρέατα : ἐπὶ τῶν ἐλευθερίων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 27 Ἀγαμέμνων γὰρ παρὰ τὴν Αὐλίδα καὶ τὴν ὅλην Ἑλλάδα φρέατα ὤρυξεν. Τὸ α μετὰ τοῦ δ.

1 28 Ἆιδε τὰ Τέλληδος : ἐπὶ τῶν σκωπτικῶν. Τέλλης γὰρ αὐλητὴς ἐγένετο, ὃς παίγνια κατέλιπε χάριν ἔχοντα. Ἄδακρυς πόλεμος : ἐπὶ τῶν ῥᾷστα καὶ παρ’ ἐλπίδα τὰ πράγματα κατορθούντων.

1 29 χρησμὸς γὰρ ἐδόθη Λακεδαιμονίοις, ἄδακρυ μάχην νικῆσαι. ὅθεν οὐδὲ εἷς τὸ τηνικαῦτα τούτων ἀπέθανεν. Ἀδεὲς δέος δέδοικας : ἐπὶ τῶν μάτην δεδιότων.

1 31 Ἀδράστεια Νέμεσις : ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὕστερον δὲ δυστυχησάντων· τῶν γὰρ ἀπογόνων Θηβαίοις ἐπιστρατευσάντων μόνος Αἰγιαλεὺς ἀπώλετο Ἀδράστου παῖς. Ἄλλοι δὲ λέγουσι, τὴν Ἀδράστειαν εἶναι τὴν αὐτὴν τῇ Νεμέσει λαβεῖν τε τοὔνομα ἀπὸ Ἀδράστου τινὸς βασιλέως ἔκ τινων μαντειῶν ἱδρυσαμένου ἱερὸν Νεμέσεως, ὃ προσαγορευθῆναι μετὰ ταῦτα Ἀδραστείας, ὡς Ἀντίμαχος ἐν τούτοις δηλοῖ· Ἔστι δέ τις Νέμεσις μεγάλη θεό ς , ἣ τάδε πάντα Πρὸς μακάρων ἔλαχε · βωμὸν δέ οἱ εἵσατο πρῶτος Ἄδρηστος ποταμοῖο παρὰ ῥόον Αἰσήποι ο . Ἔνθα τετίμηταί τε καὶ Ἀδρήστεια καλεῖτα ι . Δημήτριος δὲ ὁ Σκήψιος Ἄρτεμίν φησιν εἶναι τὴν Ἀδράστειαν ὑπὸ Ἀδράστου τινὸς ἱδρυμένην. Ἄιδεις ἔχων : μάτην λέγων ληρεῖς.

1 33 Ἄιδεις πρὸς μυρίνην : ἔθος ἦν, τὸν μὴ δυνάμενον ἐν συμποσίῳ ᾆσαι, δάφνης κλάδον ἢ μυρίνης λαβόντα, πρὸς τοῦτον ᾄδειν. Ἀιδώνιδος κῆπος : ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ἀώρων καὶ μὴ ἐῤῥιζωμένων.

1 34 Ἐπειδὴ γὰρ ὁ ᾄδωνις ἐρώμενος ὢν, ὡς ὁ μῦθος, τῆς Ἀφροδίτης πρὸ ἥβης τελευτᾷ, οἱ ταύτῃ ὀργιάζοντες κήπους εἰς ἀγγεῖά τινα φυτεύοντες ἢ φυτεύουσαι, ταχέως ἐκείνων διὰ τὸ μὴ ἐῤῥιζῶσθαι μαραινομένων, ᾀδώνιδος αὐτοὺς ἐκάλουν. Ἄιδεις ὥσπερ εἰς Δῆλον πλέον : ἐπὶ τῶν φιληδόνων καὶ ἀφροντίστων.

1 36 Ἀδελφὸς ἀνδρὶ παρείη : ὅτι προτιμητέον τοὺς οἰκείους. Ἀδδηφάγον ἅρμα : ἐπὶ τῶν γαστριμαργούντων.

1 37 καί· Ἀδδηφάγος τριήρης : ἡ πολυτελής. καί· Ἀδδηφάγος λύχνο ς . καί· Ἀδδηφάγον πεντηκόντορον : Φίλιστος. Λέγοιεν δ’ ἂν οὗτοι, τὰς ἐντελομίσθους καὶ πολλὰ ἀναλισκούσας· ἔοικε δὲ ἐκ μεταφορᾶς τῶν ἵππων τῶν τελείων καὶ ἀγωνιστῶν λέγεσθαι, οἵτινες εἰώθεσαν Ἔδμεναι ἄδδη ν , κατὰ τὸν ποιητήν. Ἀλκαῖος δὲ ἐν τῇ κωμῳδοτραγῳδίᾳ τοὺς πότους λύχνους ἀδδηφάγους εἶπεν. καὶ Ἀριστοφάνης ἐν Νεφέλαις· Οἴμοι · τί γάρ μοι τὸν πότην ἦπτες λύχνο ν . Τὸ α μετὰ τοῦ ε.

1 38 Ἀεὶ κολοιὸς παρὰ κολοιὸν ἱζάνει : ἐπὶ τῶν ὁμοίοις προσομιλούντων Τοῖς κολοιοῖς οἱ περὶ Ἀδρίαν οἰκοῦντες Αἴνετοι, ὅταν ἀρότρου καὶ σπόρου ὥρα ἦν, τοῖς κολοιοῖς ἀπέστελλον δῶρα, ψαιστὰ καὶ μάζας. βούλεται δὲ τὰ δῶρα μειλίγματα τοῖς κολοιοῖς εἶναι καὶ σπονδῶν ὁμολογίαι, ὡς ἐκείνους τὸν καρπὸν τὸν Δημήτριον μὴ ἀνορύττειν μηδὲ παρεκλέγειν καταβληθέντα ἐς γῆν· καὶ οἱ μὲν ἀναχωροῦσι· τὰ δὲ τῶν κολοιῶν νέφη δύο ἢ τρεῖς κατὰ τοὺς πρέσβεις τοὺς ἐκ τῶν πόλεων πέμπουσι, κατασκεψομένους τῶν ξενίων τὸ πλῆθος· οἵπερ οὖν καὶ ἐπανίασι θεασάμενοι, καὶ καλοῦσιν αὐτοὺς, ᾗ πεφύκασιν οἱ μὲν καλεῖν, οἱ δ’ ὑπακούειν. ἐρχόμενοι δὲ κατὰ νέφη, ἐὰν μὲν γεύσωνται τῶν προειρημένων, ἴσασιν οἱ Αἴνετοι ὅτι ἄρα αὐτοῖς πρὸς τοὺς ὄρνιθας τοὺς προειρημένους ἔνσπονδα ἐστίν, ἐὰν δὲ ὑπερίδωσι καὶ ἀτιμάσαντες ὡς εὐτελῆ μὴ γεύσωνται, πεπιστεύκασιν οἱ ἐπιχώριοι, ὅτι τῆς ἐκείνων ὑπεροψίας ἐστὶν αὐτοῖς λιμὸς τὸ τίμημα. Ἄγευστοι γὰρ ὄντες οἱ προειρημένοι καὶ ἀδέκαστοί γε, ὡς εἰπεῖν, ἐπιπέτονταί τε ταῖς ἀρούραις, καὶ τό γε πλεῖστον τῶν κατεσπαρμένων συλῶσι πικρότατά γε ἐκεῖνοι, σὺν τῷ θυμῷ καὶ ἀνορύττοντες καὶ ἀνιχνεύοντες Οἱ κολοιοὶ δὲ ἱερακίζοντες καὶ πετόμενοι πῇ μὲν ἀνωτέρω, πῆ δὲ κατωτέρω, κρυμὸν καὶ ὑετὸν δηλοῦσιν. Ἀεὶ γεωργὸς ἐς νέωτα πλούσιος : ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλαγῆναι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.

1 40 Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι : ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων. οἱ δέ, ἐπὶ τῶν ἀξίως τιμωρουμένων, μεταγεγραμμένου τοῦ εὖ πίπτουσιν εἰς τὸ ἐμπίπτουσιν. Ἀετὸν ἵπτασθαι διδάσκεις : ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινάς, ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

1 42 Ἀετὸν κορώνη ἐρεσχελεῖ : ἡ παροιμία σαφής ⁝ Ταῖς γὰρ κορώναις ἔργον ἐστὶ τοὺς ἀετοὺς ἐρεσχελεῖν· οἱ δὲ ὑπερφρονοῦσιν αὐτῶν καὶ ἐκείνας μὲν ἀπολείπουσι τὴν κάτω φέρεσθαι πτῆσιν, αὐτοὶ δὲ τὸν αἰθέρα ὑψηλότερον ὄντα τοῖς ὠκίστοις τέμνουσιν αὐτῶν πτεροῖς· οὐ δέ που δεδιότες, πῶς γὰρ ἂν τοῦτο εἴποι τις, τὴν τῶν ἀετῶν ἀλκὴν ἐπιστάμενος; ἀλλ’ ἰδίᾳ τινὶ μεγαλονοίᾳ ἐῶσιν ἔῤῥειν ἐκείνας κάτω. Ἀεὶ Λεοντῖνοι περὶ τοὺς κρατῆρας : ἐπὶ τῶν ἀεὶ τοῖς αὐτοῖς ἐγκειμένων.

1 43 Οἱ γὰρ ἐν Σικελίᾳ Λεοντῖνοι περὶ πότους ἐσχόλαζον· Φάλαρις δ’ αὐτοὺς καταπολεμήσας εἰς τοὺς κρατῆρας ἔῤῥιψεν. ἀφ’ οὗ ἡ παροιμία. Ἀετὸς μυίας οὐ θηρεύει : καὶ τὸ ἀναπάλιν· ἐπὶ τῶν σμικρολόγων.

1 44 λέγεται ἀετὸς καὶ τῶν οἰκοδομημάτων τὸ κατὰ τὸν ὄροφον, ὅ τινες ἀέτωμα καλοῦσιν. Ἀριστοφάνης Ὄρνισι· Τὰς γὰρ ἡμῶν οἰκίας ἐῤῥέψομεν πρὸς ἀετό ν . Ἀετὸς ἐν νεφέλαις : ἐπὶ τῶν δυσαλώτων.

1 45 οὐ γὰρ ἁλίσκεται ἐν νεφέλαις ⁝ Ὁ ἀετὸς καὶ δίψους ἀμείνων ἐστί, καὶ καμάτου φάρμακον οὐκ ἀναμένει πορισθὲν ἔξωθεν· ὑπερφρονῶν δὲ καὶ τῶν ὑδάτων καὶ τῆς ἀναπαύσεως τὸν ἀέρα τέμνει πολύ, καὶ ὀξύτατα ὁροῦ ἐκ πολλοῦ τοῦ αἰθέρος· τῶν δὲ νεοττῶν αὐτοῦ ἐὰν μὲν σκαρδαμύξῃ τις τὴν αὐγὴν τῆς τοῦ Ἡλίου ἀκτῖνος δυσωπούμενος, ἐξεώθη τῆς ἑστίας. εἰ δ’ ἀντιβλέψῃ καὶ μάλα ἀτρέπτως, ἀμείνων ἐστὶν ὑπονοίας, καὶ τοῖς γνησίοις ἐγγράφεται, ἐπεὶ αὐτῷ πῦρ τὸ οὐράνιον ἡ τοῦ γένους ἀδέκαστός τε καὶ ἄγραπτος ἀληθῶς ἐγγραφὴ ἐστίν. Ἀετοῦ γῆρας , κορύδου νεότης : παρόσον καὶ γηράσκων ἀετὸς κρείττων ἐστὶ νεάζοντος ὄρνιθος.

1 46 Λέγεται τὸν βίον ἀετὸς καταστρέφειν, τῆς καμπῆς τοῦ ἄνω χείλους πρὸς τὸ κάτω χρόνῳ συγκαμψάσης. Ἀετὸς θρίπας ὁρᾷ : ἐπὶ τῶν καταφρονούντων τῶν μικρῶν.

1 48 Ἀεί με τοιοῦτοι πόλεμοι διώκοιεν : ἐπὶ τῶν καταφρονούντων τινῶν. ὁμοία τῇ· Ἐγὼ πολλῶν θηρίων ψόφους ἀκήκο α . Ἀεὶ φέρει Λιβύη κακόν : ἐπὶ τῶν ἀεὶ ἐξευρισκόντων τι νέον κακόν.

1 50 Ἀετὸν κάνθαρος μαιεύεται : ἐπὶ τῶν κακῶς ὑπό τινων πασχόντων. Τὰ γὰρ ὠὰ τοῦ ἀετοῦ ἀφανίζει κυλίων ὁ κάνθαρος. Τὸ α μετὰ τοῦ η.

1 51 Ἀηκίζεσθαι μοι δοκεῖς : Ἀκὼ γυνή τις ἦν ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥτις ἐσοπτριζομένη τῇ οἰκείᾳ σκιᾷ ὡς ἑτέρᾳ διελέγετο. Ἀηδόνες λέσχαις ἐγκαθήμεναι : ἐπὶ τῶν ἀδολεσχούντων.

1 53t Τὸ α μετὰ τοῦ ζ. Ἄζηλος πλοῦτος ὅτι τυφλός : ἐπὶ τῶν κεκτημένων τι καλὸν ἄδηλον.

1 54 Ἀζαναῖα κακά : ἐπὶ τῶν κακοῖς διηνεκῶς προσπαλαιόντων. Ἀζάνη γὰρ τόπος σκληρὸς καὶ τοῖς γεωργοῖς ἀπροσπόριστος. Τὸ α μετὰ τοῦ θ.

1 55 Ἀθηνᾶ τὸν αἴλουρον : ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται. ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ συμβάλλοι. Ἀθύρωτον στόμα : ἐπὶ τῶν πολυλόγων.

1 57 Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός : ἐπεὶ ἐν Λήμνῳ βοῦν λευκοῦ πεποιημένην λίθου ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει. λέγεται δὲ ἐπὶ τῶν λυπούντων τινὰς ἢ βλαπτόντων. Τὸ α μετὰ τοῦ ι.

1 58 Αἰθέρα νήνεμον αἱρήσεις : ἐπὶ τῶν μάτην πονούντων. Αἰγιεῖς οὔτε τρίτοι , οὔτε τέταρτοι : ἐπὶ τῶν παντελῶς εὐτελῶν καὶ μικρῶν.

1 59 ἐρωτώντων γάρ τινων, τίνες κρείττους τῶν Ἑλλήνων, τοῦτο ἀπεφθέγξαντο· Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι. Αἰγὸς τρόπος : ἐπὶ τῶν ἑαυτοῖς ἐπιφερόντων κακά· ἀπὸ Κορινθιακῆς παροιμίας·

ἡ Αἲξ δοῦσα τὴν μάχαιραν · οὕτω γὰρ λέγεται, Κορινθίων Ἥρᾳ Ἀσκραίᾳ θυόντων, ἣν λέγεται ἱδρῦσαι Μήδειαν, οἱ ἐν τῇ παρόχῳ μεμισθωμένοι γῇ κρύψαντες τὴν μάχαιραν, ἐσκήπτοντο ἐπιλελῆσθαι.

1 60 ἡ δὲ αἲξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευεν ⋮ Πτύελον ἀνθρώπου θανατηφόρον εἶναι ζῴῳ ἑτέρῳ, καλῶς ἴσασιν αἶγες καὶ φυλάττονται. μέλλουσα δὲ ἡ αἲξ ἀποσφάττεσθαι σοφῶς οἶδε· καὶ τὸ μαρτύριον, οὐκ ἂν ἔτι τροφῆς προσάψαιτο ⋮ Λέγουσιν Ἄραβε ς , ὅτι τὰ παρ’ αὐτοῖς ποίμνια πιαίνεται ὑπὸ μουσικῆς μᾶλλον ἢ ὑπὸ τοῦ χιλοῦ· τῶν δὲ ἁλμυρῶν ἐσθίειν ἥδιον· ποιεῖται γὰρ τὴν τοιαύτην τροφὴν ποτοῦ ὄψον. Τά γε μὲν πρόβατα κἀκεῖνο οἶδεν, ὅτι αὐτοῖς ὁ βοῤῥᾶς καὶ ὁ νότος συμμάχονται πρὸς τὸ τίκτειν, οὐ μεῖον τῶν ἀναβαινόντων αὐτὰ κριῶν· οἶδε δέ, ὅτι ὁ μὲν βοῤῥᾶς ἀῤῥενοποιὸς ἐστίν, ὁ δὲ νότος θηλυγόνος. καὶ ἐὰν δέηται τοῦ γόνου τοῦδε ἢ τοῦδε ὀχευομένη ἡ ὄϊς πρὸς τὸν ἀπέβλεψεν ἢ πρὸς τόν. Ἀχιλλεὺς μὲν οὖν, ἵνα ὁ φίλος αὐτῷ κείμενος ἐπὶ τῆς πυρᾶς καυθῇ καὶ εὐχῆς ἐδεῖτο καὶ ἡ Ἶρις παρεκάλει τοὺς ἀνέμους αὐτῷ, ὦ καλὲ Ὅμηρε. αἱ δὲ ὄϊς ἀπραγμόνως τοὺς ἀνέμους εἰς ὠδῖνα σφετέραν ὑπηρέτας ἀκλήτως ἔχουσι. σκοποὶ δὲ ἄρα τούτων καὶ ποιμένες ἀγαθοί. Αἲξ Σκυρία : πολυγάλακτοι δὲ αὗται.

1 61 ἐν τῷ καιρῷ δὲ τῆς ἀμολγῆς ἀνατρέπουσι τὰ ἄγγη. Αἱ Οἰδίποδος ἀραί : ἐπὶ τῶν μεγάλως δυστυχούντων.

1 63 Αἵματι κλάειν : ἀφ’ ὧν μὴ δύναιντο πεῖσαι πάντα πράττοντες οὕτως ἔλεγον οἱ παλαιοί· Οὐ δ ’ ἂν πείσῃ αὐτὸν οὐ δ ’ αἵματι κλαίω ν . λέγουσι δὲ καί, Οὐ δ ’ ἂν αἵματι στένων πείσειε ν . Αἶρε πλῆκτρον : ἐπὶ τῶν εἰς ἄμυναν ἀντικινουμένων.

1 65 Αἴρειν ἔξω πόδα πηλοῦ : ἐπὶ τῶν βουλευομένων μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ καί· Αἴρειν ἔξω πόδα αἰτία ς . Αἴτει καὶ τοὺς ἀνδριάντας ἄλφιτα : ἐπὶ τῶν ἀσυμπαθῶν.

1 67 Αἰζωνιεὺς ἄλλος : Αἰζωνηῒς δῆμος ἦν φυλῆς τῆς Κεκροπίδος. ἐκωμῳδοῦντο δὲ εἰς βλασφήμους, ἀφ’ οὗ καὶ τὸ κακῶς λέγειν αἰζωνεύεσθαι ἔλεγον. Μένανδρος ἐν Κανηφόρῳ. Πλάτων δ’ ἐν τῷ περὶ ἀνδρείας φησίν· Οὐδὲν ἐρῶ πρὸς ταῦτά γε ἔχων εἰπεῖ ν , μή με εἴπῃ Αἰζωνέα εἶναι · ἤτοι βλάσφημον. ἐντεῦθεν ἡ παροιμία. Αἰθίοψ οὐ λευκαίνεται : ἐπὶ τῶν ἀμεταβλήτων.

1 69 Αἱροῦντες ᾑρήμεθα : ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν, εἶθ’ ὑπ’ ἐκείνων ἁλόντων. Αἰσχύνη πόλεως πολίτου ἁμαρτία : ἐξ ἀποφθέγματος.

1 71 Αἰθίοπα σμήχεις : ὁμοία τῇ· Χύτρας ποικίλλει ς . Ὠὸν τίλλει ς . Αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι : ἐκ τῶν Ὁμήρου.

1 73 Αἰσώπειον αἷμα : ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων· οὐ γὰρ ἐνδίκως ἐκτείναντο Αἴσωπον οἱ Δελφοί. Αἴρειν μασχάλην : ἐπὶ τῶν ὀρχουμένων ἀγροίκως.

1 75 Αἶρε δάκτυλον : ἐπὶ τῶν νενικηκότων. ἐπαίρουσι γὰρ τὴν χεῖρα σύμβολον τοῦ νενικῆσθαι. Αἰγιθάλου τολμηρότερος : σαφὴς ἡ παροιμία ⋮ Ὁ δὲ αἰγιθάλας ζῷον ἐστί· καὶ τῶν μὲν μικρῶν ὀρνίθων ὑπερφρονεῖ, ἐπιτίθεται δὲ ταῖς αἰξὶ κατὰ τὸ καρτερὸν, καὶ μέντοι τοῖς οὔθασιν αὐτῶν προσπετόμενος εἶτα ἐκμυζᾷ ἐκ τοῦ γάλακτος καὶ τὴν τιμωρίαν τὴν ἐκ τοῦ αἰπόλου οὐ δέδοικε, καίτοι πονηρὸν αὐταῖς μισθὸν ὑπὲρ τῆς πλησμονῆς ἀποδιδούς· τυφλοῖ γὰρ τὸν μασθὸν ὅταν σπάσῃ, καὶ ἀποσβέννυσι τὴν ἐκεῖθεν ἐπιῤῥοήν.

1 77 Αἰσώπειον αἷμα : ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσιν ἐνεχομένων. ἐπειδὴ τοῖς Δελφοῖς ἀδίκως ἀνελοῦσι τὸν Αἴσωπον, ὠργίσθη ὁ θεός. Αἰέτιον χάριν ἐκτίσω : ἐπὶ τῶν ταχέως μεγάλαις δωρεαῖς ἀντιχαριζομένων ⋮ Ἀλοῶντες ἄνθρωποι τοῦ ἡλίου καταφλέγοντος, δίψει πιεζόμενοι, τὸν ἀριθμὸν ἑκκαίδεκα, ἕνα ἑαυτὸν ἀπέστειλαν ἐκ πηγῆς γειτονούσης κομίσαι ὕδωρ.

1 78

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκοῦν ἀπιὼν τὸ μὲν δρέπανον τὸ ἀμητικὸν διὰ χειρὸς εἶχε, τὸ δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν· ἐλθὼν δὲ καταλαμβάνει ἀετὸν ὑπό τινος ὄφεως ἐγκρατῶς τε καὶ εὐλαβῶς περιπλακέντος ἀποπνιγόμενον ἤδη. ἔτυχε δὲ ἄρα καταπτὰς μὲν ἐπ’ αὐτὸν ὁ ἀετὸς, οὐ μὴν κρείττων γενόμενος οὐδὲ τῆς ἐπιβουλῆς κρείττων γενόμενος, οὐδὲ, τοῦτο δὴ τὸ Ὁμηρικόν, τοῖς ἑαυτοῦ τέκνοις τὴν δαῖτα ἐκόμισεν, ἀλλὰ ταῖς ἐκείνου σπείραις περιπεσὼν ἕρμασιν ἔμελλεν οὐ μὰ Δί’ ἀπολεῖν, ἀλλ’ ἀπολεῖσθαι· εἰδὼς οὖν ὁ γεωργὸς ἢ καὶ ἀκούων, τὸν μὲν εἶναι Διὸς ἄγγελον, εἰδώς γε μὴν κακὸν θηρίον τὸν ὄφιν, τῷ δρεπάνῳ διακόπτει τὸν θῆρα· καὶ μέντοι τῶν ἀφύκτων δεσμῶν τὸν αἰετὸν ἀπολύει· ἀρυσάμενος δὲ τὸ ὕδωρ ἧκε, καὶ πρὸς τὸν οἶνον κεράσας ὤρεξε πᾶσιν· οἱ δὲ ἄρα ἐξέπιον καὶ ἀμυστὶ καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ· ἔμελλε δὲ καὶ αὐτὸς ἐπ’ ἐκείνοις πίεσθαι· ἔτυχε δὲ ὑπηρέτης κατ’ ἐκεῖνο τοῦ καιροῦ, ἀλλ’ οὐ συμπότης ὤν. ἐπεὶ δὲ τοῖς χείλεσι τὴν κύλικα προσῆγεν, ὁ σωθεὶς αἰετὸς ζωάγρια ἐκτίνων οἱ, καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου ἔτι διατρίβων περὶ τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι καὶ ἐκχεῖ τὸ ποτόν. Ὁ δὲ ἠγανάκτησε, καὶ γὰρ ἔτυχε διψῶν, καὶ λέγει· εἶτα μέντοι σὺ ἐκεῖνος ὢν, καὶ γὰρ τὸν ὄρνιν ἐγνώρισε, τοιαύτας ἀποδίδως τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἂν καὶ ἄλλος σπουδὴν κατάθοιτο εἴς τινα αἰδοῖ Διὸς χαρίτων ἐφόρου τε καὶ ἐπόπτου; καὶ τῷ μὲν ταῦτα εἴρητο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας ἀσπαίροντάς τε καὶ ἀποθνήσκοντας. ἦν δὲ ἄρα, ὡς συμβαλεῖν, ἐμημεκὼς ἐς τὴν πηγὴν ὁ ὄφις, καὶ κεράσας αὐτὴν τῷ ἰῷ. Οὕτως ὁ ἀετὸς τῷ σώσαντι ἀμοιβῇ τῆς ἰσοτίμου σωτηρίας ἀπέδωκε τὸν μισθόν ⋮ Τὸν δὲ χρυσάετον, ὡς δ’ ἄλλοι φασίν, ἀστερίαν, οὐ μόνον νεβροῖς, ἀλλὰ καὶ ταύροις ἐπιτίθεται κατὰ τὸ καρτερόν· ὁ μὲν γὰρ κεκυφὼς κάτω νέμεται ὁ ταῦρος· ὁ δὲ ἀετὸς ἐπὶ τῷ τένοντι τοῦ ζῴου καθίσας ἑαυτὸν παίει τῷ στόματι συνεχέσι καὶ καρτερικαῖς ταῖς πληγαῖς· ὁ δὲ ὥσπερ οἰστρηθεὶς ἐξάπτεται, καὶ ᾗ ποδῶν ἔχει φυγῆς ἄρχεται. καὶ ἕως μὲν εὐήλαται, ὁ ἀετὸς ἥσυχός ἐστι καὶ ἐπιποτᾶται παραφυλάττων· ὅταν δὲ τὸν ταῦρον θεάσηται πλησίον κρημνοῦ γενόμενον, κυκλώσας τὰ πτερὰ καὶ ὑπερτείνας αὐτοῦ τῶν ὀφθαλμῶν ἐποίησε τὰ ἐν ποσὶ μὴ προειδόμενον κατενεχθῆναι βιαιότατα· εἶτα ἐμπεσὼν καὶ ἀναῤῥήξας τὴν γαστέρα ῥᾳδίως χρῆται τῇ ἄγρᾳ εἰς ὅσον ἐθέλει. θήρας δὲ ἀλλοτρίας οὐχ ἅπτεται κειμένης, ἀλλὰ χαίρει τοῖς ἑαυτοῦ πόνοις, κοινωνίαν τε τὴν πρὸς ἄλλον ἥκιστα ἐνδέχεται· κορεσθεὶς δὲ εἶτα τοῦ λοιποῦ πονηρὸν ἆσθμα καὶ δυσωδέστατον καταπνεύσας, ἄβρωτα τοῖς ἄλλοις τὰ λείψανα ἐᾷ. καὶ μέντοι ἀλλήλων ἀπῳκισμένας οἰκοῦσι καλιάς, ὑπὲρ τοῦ μὴ διαφθείρεσθαι ὑπὸ θήρας, καὶ λυπουμένους λυπεῖν ⋮ Ζηλοτυπώτατος δέ ἐστιν ὁ ἀετὸς πρὸς τὰ νεόττια.

1 78 (50) ἐὰν γοῦν θεάσηταί τινα προσιόντα, παίει τοῖς πτεροῖς αὐτὸν καὶ τοῖς ὄνυξι λυμαίνεται. Αἰτναῖος κάνθαρος : ἐπὶ τῶν μεγάλων τῷ σώματι.

1 80 Ἄϊδος κυνῆ : ἐπὶ τῶν κρυπτόντων ἑαυτοὺς διὰ τινῶν μηχανημάτων. ταύτῃ Περσεὺς χρησάμενος τὴν Γοργὼ ἐδειροτόμησεν. Αἴθεις ἐν πέπλῳ : καὶ· αἴθης πέπλος : ἐπὶ τῶν στάσεις ἐγειρόντων καὶ ὑπεκκαιόντων· ἡ γὰρ Διϊάνειρα πέπλον ἔπεμψεν Ἡρακλεῖ, ὑφ’ οὗ ἐκαύθη.

1 82 Αἱ Χάριτες γυμναί : ὅτι δεῖ τὴν δωρεὰν ἀφειδῶς ἢ ἀκενοδόξως χαρίζεσθαι. Αἴολος ἀνὴρ εἰς βόθρον ἐμπεσεῖται : ἤτοι ὁ πανοῦργος καὶ πονηρός.

1 83 Αἴολος δὲ σημαίνει τρία. τὸν πονηρόν, ὡς ἐνταῦθα· τὸν ποικίλον, ὡς παρ’ Ὁμήρῳ κορυθαίολος Ἕκτωρ· καὶ ὄνομα κύριον. ὅστις ἦν ἀνὴρ εὐστοχώτατος τὰ περὶ ἀνέμους, κἀντεῦθεν καὶ θεὸς τῶν ἀνέμων ὑπείληπται· οὗτος Τηλεπώραν γήμας τὴν Λαιστρυγόνα, ἐγέννησε θυγατέρας ἓξ, καὶ ταύταις ἴσους υἱούς· εἰσὶ δὲ τοῖς μὲν ἄρσεσι τὰ ὀνόματα Ἰοκάστος, Ξοῦθος, Φαρακλός, Χρύσιππος, Φερήμων καὶ Ἀνδροκλῆς· ταῖς δὲ παρθένοις Ἴφθη, Αἰόλη, Περίβοια, Δία, Ἀστυκράτεια καὶ Ἡφαιστία. Αἰγιαλῷ λαλεῖς : ἐπὶ τῶν ἀνηκόων.

1 85

Αἱ Ἰβύκου γέρανοι : ἐπὶ τῶν ἀπροσδοκήτως κολαζομένων ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν. Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος γεράνους ἰδὼν ἐμαρτύρατο. εἶτα οἱ λῃσταὶ ἐν θεάτρῳ γεράνους θεώμενοι, Αἱ Ἰβύκου γέρανο ι , ἔλεγον, καὶ ἀνακριθέντες ἐκολάσθησαν. Αἱ λαχάνων προσθῆκαι : ἐπὶ τῶν μηδὲν ὠφελούντων.

1 87 Αἰάντειος γέλως : ἐπὶ τῶν παραφρόνως γελώντων. Αἲξ οὔπω τέτοκεν , ἔριφος δ ' ἐπὶ δώματος παίζει : ἐπὶ τῶν οὔπω τεχθέντων ἢ γεγονότων, ἀλλ' ἀτελῶν ὄντων καὶ τὰ τῶν τελείων θελόντων ποιεῖν.

1 89 Αἰεὶ γέροντι νέα προσβάλλει κόρην : ἐπὶ τῶν πρεσβυτέρων, βουλομένων δὲ νέαις συνευνάζεσθαι. Τὸ α μετὰ τοῦ κ.

1 90 Ἀκεσσαίου σελήνη : ἐπὶ τῶν εἰς χρόνον ἀναβαλλομένων πρᾶξαι τί. ἦν δὲ κυβερνήτης, ὃς ῥᾴθυμος ὢν ἔλεγε διὰ παντὸς ἀναμένειν σελήνην, ἵνα ἐν φωτὶ ὁ πλοῦς αὐτῷ γένοιτο. Ἄκαιρος εὔνοια οὐδὲν ἔχθρας διαφέρει : Ἱππόλυτος εἶπε τοῦτο πρὸς τὴν Φαῖδραν, λέγουσαν αὐτὸν φιλεῖν ὑπὲρ ὅλους.

1 92 Ἀκλητὶ κωμάζουσιν εἰς φίλους φίλοι : ὅμοιον αὐτῷ ἐστι τό, Ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτα ἴασιν · ἐπὶ τῶν αὐτομάτως πορευομένων που. Ἄκουε τοῦ τέτταρα ὦτα ἔχοντος : αὐλητὴς ἦν, περὶ οὗ εἶπεν ἡ Πυθία τισὶν ὡς παραφυλάττοιντο· οἱ δὲ ἀμελήσαντες ἀπώλοντο.

1 93 ἔνιοι μὲν ἐπὶ τοῦ πολλὰ εἰδότος ἢ ἀκούοντος· οἱ δὲ ἐπὶ τῶν ἀληθευόντων· ὡς ἐπὶ τοῦ Ἀπόλλωνος, ὃν τετράχειρα καὶ τετράωτον καλοῦσιν. Ἀκεσίας ἰάσαιτο : ἐπὶ τῶν ἐπὶ χεῖρον ἰωμένων.

1 94 καὶ Ἀριστοφάνης· Ἀκεσίας τὸν πρωκτὸν ἰάσατ ο . Ἀκρὶς δυσκίνητος χλωρά : ταύτης ταῖς κινήσεσιν οἱ ἀγροῖκοι προστρέχουσι καὶ μαντείας ἐξ αὐτῶν ποιοῦνται· τίθεται οὖν ἐπὶ τῶν φαύλως μαντευομένων.

1 96 Ἄκις ποταμός : ἐπὶ τῶν ἄγαν ψυχρῶν. ψυχρὸς γάρ ἐστιν οὗτος. Ἄκρον λάβε καὶ μέσον ἕξεις : οἱ τὴν Αἴγιναν οἰκοῦντες, ἐκπεσόντες αὐτῆς διὰ πόλεμον, ἐχρήσαντο τῷ θεῷ· ὁ δὲ τὸν χρησμὸν τοῦτον εἶπε.

1 97 καὶ συμβαλόντες, ἀκρωτήριόν τι κατασχόντες, κατὰ μέσον ᾤκησαν. λέγεται δὲ ἐπὶ τῶν δυσνοήτων. Ἀκούσατε νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον.

1 99 Ἀκεσαίου καὶ Ἑλικῶνος ἔργα : ἐπὶ τῶν θαύματος ἀξίων. οὗτοι γὰρ πρῶτοι τὸν τῆς Ἀθηνᾶς πέπλον ἐδημιούργησαν. Ἄκουε τὰ ἀπὸ καρδίας : ἐπὶ τῶν ἀπαρακαλύπτως ἃ φρονοῦσι διεξιόντων.

2 1 Ἀκαδημίηθεν ἥκεις : ἤτοι σοφὸς καὶ σπουδαῖος ὑπάρχεις. Ἀκαδημία δὲ ἦν γυμνάσιον ἐν Ἀθήναις ἀλσῶδες, ἐν ᾧ διέτριβε Πλάτων, ἀπὸ Ἀκαδήμου τινὸς ἥρωος. πρότερον δὲ Ἀκαδημία ἐκαλεῖτο, ὡς καὶ Ἀριστοφάνης. ἔτι δὲ καὶ Ἁρποκρατίων· Ἀκαδήμια τρία ὑπῆρχον γυμνάσια, Λύκιον, Κυνόσαργες, Ἀκαδημία. ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτοῦ Ἀκαδημοῦ. Ἀκέφαλος μῦθος : ἐπὶ τῶν ἀτελῆ λεγόντων· Πλάτων· Ἀκέφαλον καταλίποιμι μῦθο ν .

2 3 Ἀκίνητα κινεῖς : ἐπὶ τῶν λίαν παράνομα πραττόντων. ὅτι οὐ δεῖ κινεῖν τύμβους, μὴ τάφους, μὴ ὀροφήν. Ἄκισσος με τ ' Ἀνθεστήρια : ἐπὶ τῶν βραδέων.

2 5 Ἄκρῳ ἅψασθαι δακτύλῳ : ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων. Ἄκμων μέγιστος οὐ φοβεῖται τοὺς ψόφους· Καὶ νοῦς ἐχέφρων πᾶσαν ἕλκουσαν βίαν.

2 7 Ἄκων μὲν , ὡς Ζεὺς οἶδεν : ἐπὶ τῶν ἀκόντων ὑπισχνουμένων τι. Ἀκόνην σιτίζεις : ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, μηδὲν δὲ εἰς σῶμα ἐπιδιδόντων.

2 8 Ἄλλοι δὲ ἐπὶ τῶν ἀδυνάτων. Τὸ α μετὰ τοῦ λ.

2 9

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἅλας ἄγων καθεύδεις : ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥᾳστωνευομένων· ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος, εἶτα καθεύδοντος, τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας. Ὁ δὲ Διογενιανὸς οὕτω φράζει τήνδε τὴν παροιμίαν· ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν , ἔν θ ’ ἔβη : ἔμπορος γάρ τις ἅλας ἄγων καὶ ἀποκαθευδήσας ἀπώλεσεν αὐτὸ τῆς ἀντλίας ἐπαναβάσης. Λέγεται οὖν ἐπὶ τῶν ἅπερ προσεπόρισαν ἀπολλύντων. Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν : δήλη ἡ παροιμία.

2 10 φίλοι γὰρ ἐκ τούτων γινόμεθα. Ἄλλο ᾄδεις : ἐπὶ τῶν μάτην πονούντων.

2 12 Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ : ἐπὶ τῶν ἀληθῶν, οὐ πιστευομένων δέ. Σάγρα τόπος τῆς Λοκρίδος. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ. Λοκροὺς δέ φασι τοὺς Ἐπιζεφυρίους πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους. τὸν δὲ στρατὸν μὲν οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοῖς τοὺς Διοσκόρους, οἰωνισαμένους τὸ κερτομηθὲν τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκόρων συμπλεῖν αὐτοῖς. νικησάντων δὲ αὐθημερόν, καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην, τὸ μὲν πρῶτον ἀπιστηθῆναι, ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγειν τοῖς ἀληθεστάτοις μὲν, οὐ πιστευομένοις δέ. Ἀλεκτρυὼν ἐπιπηδᾷ : ἐπὶ τῶν ἀγενῶς ἀναμαχομένων τὴν ἧτταν ⋮ Οἱ ἀλεκτρυόνες ὑπεράγαν οὐκ ᾄδουσιν ἐν τοῖς ὑγροῖς χωρίοις καὶ ἔνθα νοτιώτερός ἐστιν ὁ ἀήρ.

2 13 ψυχροὶ δὲ ἄρα ὄντες τὴν σύγκρασιν οἱ τέττιγες, εἶτα μέντοι πυρουμένου τοῦ ἡλίου ᾄδουσιν ⋮ Ἀλεκτρυόνες γε μὴν καὶ ὄρνιθες οἱ ἐθάδες πτερυσσόμενοι καὶ φρυαττόμενοι καὶ ὑποτρύζοντες χειμῶνα δηλοῦσι. Πετόμενοι δὲ ὄρνιθες εἰς ἀλλήλους καὶ δι’ ἀλλήλων θέοντες χειμῶνα ἐσόμενον οὐκ ἀγνοοῦσιν. Ἁλμυρὰν ἀκοὴν ἀπεκλύσατο ποτίμῳ λόγῳ : ἐπὶ τῶν ἀπό τινος φαύλου εἰς καλόν τι μετακλινάντων.

2 15 Ἀληλεσμένος βίος καὶ μεμαγμένος : ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων, ἢ ἐπὶ τοῦ προχείρου καὶ ἑτοίμου. ὁμοία τῇ· Ἄσπαρτα καὶ ἀνήροτ α . Ἄλλην δρῦν βαλάνιζε : ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι, ἢ παρὰ τῶν αὐτῶν ἀεὶ δανειζομένων· οἱ παλαιοὶ γὰρ βαλάνοις ἔζων.

2 16 πρὸς οὖν τοὺς περισκοποῦντας δρῦς, εἴτε πλήρεις εἶεν εἴτε κενὲ, Ἄλλην δρῦν βαλάνιζ ε , ἔλεγον. Ἀλώπηξ δωροδοκεῖται : ἐπὶ τῶν ῥᾳδίως δώροις ἁλισκομένων.

2 17 Κρατῖνος Νόμοις· Ὑμῶν εἰς μέσον ἕκαστος ἀλώπηξ δωροδοκεῖτα ι . Ἀλώπηξ οὐ δωροδοκεῖται : ἐπὶ τῶν μὴ ῥᾳδίως δώροις πειθομένων ⋮ Τοὺς χερσαίους ἐχίνους καταγωνίσασθαι θέλουσαν τὴν ἀλώπεκα, ἀνείργουσιν αὐτῶν τὰ κέντρα, ἡ δὲ ἡσύχως καὶ πεφεισμένως τοῦ ἑαυτῆς στόματος ἀνατρέπει αὐτοὺς καὶ κλίνει ὑπτίους, ἀνασχίσασά τε ἐσθίει ῥᾳδίως. τὰ δὲ μικρὰ ἰχθύδια διαθηρῶσι πάνυ σοφῶς. παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἔρχονται καὶ τὴν οὐρὰν καθιᾶσιν εἰς τὸ ὕδωρ· τὰ δὲ προσνέοντα ἐνίσχεταί τε καὶ ἐμπλάσσεται τῷ δάσει τῶν τριχῶν· αἱ δὲ ἐνισχόμεναι τοῦ μὲν ὕδατος ἀναχωροῦσιν, ἐλθοῦσαι δὲ εἰς τὰ ξηρὰ χωρία διασείουσι τὰς οὐρὰς καὶ ἐκπίπτει τὰ ἰχθύδια καὶ ἐκεῖναι δεῖπνον ἁβρότατον ἔχουσι. πεῖραν δὲ ποιεῖται τοῦ μὴ σφαλεροῦ τόπου οὕτως· παραβάλλει τὸ οὖς ἐπὶ τῷ κρυστάλλῳ, κἂν μὲν αἴσθηται μὴ ὑπηχοῦν κάτω τὸ ῥεῦμα, μηδὲ ὑποψοφοῦν ἡσυχῇ εἰς βάθος, ἡ δὲ ὡς ἑστῶτι τῷ κρυστάλλῳ θαρσεῖ· εἰ δὲ μὴ, οὐκ ἂν ἐπιβαίη. Ἅλμη οὐκ ἔστιν ἐν αὐτῷ : ἐπὶ τοῦ ἀηδοῦς καὶ ἀναρτύτου.

2 19 Ἀλιτήριος εἶ : ἐπὶ τοῦ μετὰ βίας τι ποιοῦντος ἀπὸ σιτοδείας. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους. ἥρπαζον οὖν τινες ἀλούμενα τὰ ἄλευρα. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. ὁ δὲ λιμὸς ἐγένετο ἀπὸ τοῦ Αἰτωλικοῦ πολέμου. Ἀλκυονίτιδας ἡμέρας ἄγεις : ἐπὶ τῶν ἀταράχων καὶ ἀνεπηρεάστων.

2 20 περὶ τοῦ ἀριθμοῦ διαφέρονται. Σιμωνίδης γὰρ ἐν Πεντάθλοις ἕνδεκά φησιν αὐτὰς καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων· Δημαγόρας ἑπτά· Φιλόχορος ἐννέα. τὸν δὲ ἐπ’ αὐταῖς μῦθον Ἡγήσανδρος ἐν τοῖς περὶ Ὑπομνημάτων λέγει οὕτως· Ἀλκυονέως τοῦ Γίγαντος θυγατέρες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦσαν Φωσθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Παλήνη, Δριμώ, Ἀστερίη· αὐταὶ μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Παλήνης, ἔῤῥιψαν αὑτὰς εἰς τὴν θάλασσαν· Ἀμφιτρίτη δ’ αὐτὰς ὄρνιθας ἐποίησε· καὶ ἀπὸ τοῦ πατρὸς Ἀλκυόνες ἐκλήθησαν· αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι, Ἀλκυονίδες καλοῦνται. Ἀλώπηξ τὸν βοῦν ἐλαύνει : τάττεται ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων· ἢ ἐπὶ δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλα καταγωνιζομένων, ἄφρονας ⋮ Αἱ ἀλώπεκες ὅταν θεάσωνται σφηκιὰν εὐθετουμένην, αὗται μὲν ἀποστρέφονται τὸν χηραμὸν ἐκνεύουσαι καὶ τὰς ἐκ τῶν κέντρων τρώσεις φυλαττόμεναι· καθιᾶσι δὲ τὴν οὐρὰν δασυτάτην τε οὖσαν καὶ μηκίστην τὴν αὐτὴν καὶ διασείουσαν τοὺς σφῆκας· οἱ δὲ προσέρχονται τῷ τῶν τριχῶν δάσει.

2 21 ὅταν δὲ ἀναπλασθῶσιν αὐτῷ, προσαράττουσι τὴν οὐρὰν ἢ δένδρῳ ἢ τοίχῳ ἢ αἱμασιᾷ· παιόμενοι δὲ οἱ σφῆκες ἀποθνήσκουσιν· εἶτα ἦλθον ἐπὶ τὸν τόπον, καὶ τοὺς λοιποὺς προσαναλέξασαι καὶ ἀποκτείνασαι κατὰ τοὺς πρώτους, ὅταν ἐννοήσωσι λοιπὸν εἰρήνην εἶναι καὶ ἀπὸ τῶν κέντρων ἐλευθερίαν, καθῆκαν τὸ στόμα καὶ τὰ σφηκία ἐσθίουσι, μήτε θορυβούμενα μήτε τὰ κέντρα ὑφορώμενα ⋮ Ἡ δὲ θαλασσία ἀλώπηξ δι’ ἀκρασίαν τοῦ δελέατος οὐκ ἀπέχεται, καταφρονεῖ δὲ τοῦ ἀγκίστρου καὶ ἁλοῦσα ἀνέθορε καὶ ἀπέκειρε τὴν ὁρμήν ⋮ Ὁ δὲ καλούμενος χηναλώπηξ, ἔχει μὲν τὸ εἶδος τὸ τοῦ χηνός, πανουργίᾳ δὲ δικαιότατα ἀντικρίνοιτο τῇ ἀλώπεκι· καὶ ἔστι μὲν χηνὸς βραχύτερος, ἀνδρειότερος δὲ καὶ χωρεῖν ὁμόσε δεινός. ἀμύνεται γοῦν καὶ ἀετὸν καὶ αἴλουρον ⋮ Οἱ δὲ χῆνες διαμείβοντες τὸν Ταῦρον τὸ ὄρος δεδοίκασι τοὺς ἀετούς, καὶ ἕκαστός τε αὐτῶν λίθον ἐνδακόντες, ἵνα μὴ κρώζωσιν, ὥσπερ οὖν ἐμβαλόντες σφίσι στόμιον, διαπέτονται σιωπῶντες, καὶ τοὺς ἀετοὺς τὰ πολλὰ ταύτῃ διαλανθάνουσι. θερμότατός τε ἄρα ὢν καὶ τὴν φύσιν διαπυρώτατος ὁ χὴν φιλόλουτρός ἐστι καὶ νήξεσι χαίρει καὶ τροφαῖς μάλιστα ταῖς ὑγροτάταις. εἰ δὲ καὶ ἐξαυαίνοιτο ὑπὸ λιμοῦ, δάφνης φύλλον οὐκ ἂν φάγοι οὐδ’ ἂν σπάσαι ῥοδάφνης· οἶδε γὰρ ὅτι τεθνήξεται τούτων τινὸς ἐμφαγών. Ἁλιεὺς πληγεὶς νοῦν οἴσει : ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐλθόντων.

2 22 ὥσπερ καὶ ὁ πληγεὶς ἁλιεὺς εὐκόλως μετὰ τὴν τρῶσιν τοὺς ἰχθύας μεταχειρίζεται. Ἁλμυρὸν γειτόνημα ἔμβλεπε πόῤῥω : δηλοῖ δὲ, ὅτι κακόν ἐστι τὸ γειτόνημα τῆς θαλάσσης ἔχειν ἢ χρῆσθαι.

2 23 αὕτη ὁμοία ἐστὶ τῇ· Ἐὰν δύνῃ ὁδεῦσα ι , μὴ πλεύσῃ ς . Ἁλμυρὸν δὲ γειτόνημα λέγεται ἡ θάλασσα. ἔστι δὲ ἡ λέξις Πλατωνική· ἐχρήσατο δὲ ταύτῃ καὶ Ἀλκμὰν ὁ λυρικός. Ἄλλοι μὲν σπείρουσι , ἄλλοι δ ’ ἀμήσονται : ἐπὶ τῶν τὰ ἀλλότρια ἐσθιόντων.

2 25 Ἄλλοτε μητρυιὴ πέλει ἡμέρα , ἄλλοτε μήτηρ : ἐπὶ τῶν ποτὲ μὲν εὐημερούντων, ἄλλοτε δὲ δυσημερούντων. Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων : ἐκ τοῦ τραγῳδοῦ, καὶ σαφής.

2 27 Ἁλώνητον ἀνδράποδον : τὸ εὐτελὲς καὶ πρὸς ἅλας ὠνηθέν. ὅθεν καὶ Μένανδρος· Θρᾷξ εὐγενὴς εἶ πρὸς ἅλας ὠνημένο ς . Ἁλῶν μέδιμνον ἀποφαγών : ἐπὶ τῶν ἀχαρίστων.

2 29 Ἄλλοι κάμον , ἄλλοι δ ’ ὤναντο : ἐπὶ τῶν παρ’ ἐλπίδα τὰ τῶν ἄλλων κληρονομούντων. Ἀλωπελίζειν πρὸς ἑτέραν ἀλώπεκα : ἐπὶ τῶν ἐξαπατᾷν βουλομένων τοὺς ὁμοίους.

2 31 Ἄλλως ᾄδεις : ἐπὶ τῶν μάτην πονούντων. Ἄλλο γλαῦξ , ἄλλο κορώνη φθέγγεται : ἐπὶ τῶν ἀλλήλοις ἀσυμφωνούντων καὶ ἐριζόντων τοῖς κρείττοσιν.

2 33 Ἄλλην μὲν ἐξηντλοῦμεν , ἥ δ ’ ἐπιῤῥέει : ἐπὶ τῶν μάτην πονούντων. Ἁλσὶ διασμηχθεὶς ὄναι τ ’ ἂν οὑτοσίν : ἐπὶ τῶν παραπαιόντων.

2 34 φησὶν οὖν οὐ τὰ τυχόντα οὗτος ὠφεληθήσεται διαβρεχθεὶς ἁλσίν· ὡς ἐπὶ ἀσκοῦ τὸν λόγον ποιούμενος, οἵτινες σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται. ἅμα δὲ καὶ παραφρονοῦντας ὑπὸ μέθης βρέχομεν ἐλαίῳ καὶ ἁλσὶ καὶ ὠφελοῦνται. ἢ ὡς παχύδερμον αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται· ὄναιτ’ ἂν οὖν, φησίν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποβαλὼν τὴν παχύτητα· τὴν ἀρχὴν δέ φασιν εἰρῆσθαι τὴν παροιμίαν ἀπὸ τῶν κεραμείων, ὅσοις ἅλες βάλλονται ὑπὸ τοῦ μὴ ἐξίστασθαι τὸν οἶνον εὐχερῶς. Ἄλλα μὲν Λεύκων , ἄλλα δὲ Λεύκωνος υἱός : ἐπὶ τῶν ἐχόντων τοὺς λόγους ἀσυμφώνους τοῖς ἔργοις.

2 36 Ἄλλοισι μὲν γλῶσσα , ἄλλοισι δὲ γομφίοι : ἐπὶ τῶν λάλων καὶ φάγων. Ἀλλότριον ἀμᾷς θέρο ς .

2 38 Ἀλκήστιδος ἀνδρεία : ἐπὶ τῶν καρτερῶν. Καί· Ἀλκήστιδος ἀναβίωσις : ἐπὶ τῶν ἀδυνάτων καὶ ἀπίστων ⁝ Λέγεται γὰρ μῦθος τραγικώδης, ὡς δὴ μέλλοντος Ἀδμήτου θανεῖν αὕτη εἵλετο ὑπὲρ αὐτοῦ θάνατον, καὶ Ἡρακλῆς αὐτὴν διὰ τὴν εὐσέβειαν ἀφελόμενος καὶ ἀναγαγὼν αὐτὴν ἐκ τοῦ Ἅιδου ἀπέδωκεν Ἀδμήτῳ· ἐμοὶ δὲ δοκεῖ μηδένα ἀποθανόντα δύνασθαί τινα ἀναβιῶσαι. ἀλλ' ἐγένετό τι τοιοῦτον. ἐπειδὴ Πελίαν ἀπέκτειναν αἱ θυγατέρες, καὶ Ἄκαστος ὁ Πελίου ἐδίωκεν αὐτάς, οὐ λαμβάνει μέν, Ἄλκηστις δὲ καταφεύγει εἰς Φερὰς πρὸς Ἄδμητον ἀνεψιὸν αὐτῆς· καὶ καθεζόμενος ἐπὶ τῆς ἑστίας οὐκ ἐβούλετο Ἄδμητος Ἀκάστῳ ἔκδοτον ἐξαιτουμένῳ δοῦναι. ὁ δὲ πολλὴν στρατιὰν παρακαταθίσας ἐπὶ τὴν πόλιν ἐπυρπόλει αὐτούς. ἐπεξιὼν δὲ ὁ Ἄδμητος ἔχων καὶ λοχαγοὺς νύκτωρ συνελήφθη ζῶν· ἠπείλει δὲ Ἄκαστος ἀποκτεῖναι αὐτόν. πυθομένη δὲ ἡ Ἄλκηστις ὅτι μέλλει ἀναιρεῖσθαι Ἄδμητος δι' αὐτήν, ἐξελθοῦσα ἑαυτὴν παρέδωκε. τὸν οὖν Ἄδμητον ἀφίησιν ὁ Ἄκαστος, ἐκείνην δὲ συλλαμβάνει. ἔλεγον οὖν οἱ ἄνθρωποι, ἀνδρεία γε ἡ Ἄλκηστις, ἑκοῦσα ὑπεραπέθανεν Ἀδμήτου. Τοιοῦτο μέντοι οὐκ ἐγένετο, ὡς ὁ μῦθος φησί. κατὰ γοῦν τὸν καιρὸν τοῦτον Ἡρακλῆς ἧκεν ἄγων ἔκ τινος τόπου τὰς Διομήδους ἵππους. τοῦτον ἐκεῖσε πορευόμενον ἐξένισεν Ἄδμητος. ὀδυρομένου δὲ Ἀδμήτου τὴν συμφορὰν τῆς Ἀλκήστιδος ἀνακτησάμενος Ἡρακλῆς ἐπιτίθεται τῷ Ἀκάστῳ καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρει, καὶ τὰ μὲν λάφυρα τῇ αὑτοῦ στρατιᾷ διανέμει, τὴν δὲ Ἄλκηστιν τῷ Ἀδμήτῳ παραδίδωσιν. ἔλεγον οὖν οἱ ἄνθρωποι, ὡς ἐντυχὼν Ἡρακλῆς ἐκ τοῦ θανάτου ἐρύσατο τὴν Ἄλκηστιν. τούτων γενομένων ὁ μῦθος προσανεπλάσθη. Ἄλλοτε δ ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι : ὅτι προσήκει ἐξομοιοῦν ἑαυτὸν ἐν οἵοις ἂν τόποις γένοιτο.

2 39 εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων· οὗτοι γὰρ ᾗ ἂν πλησιάσωσι πέτρᾳ φόβου κατεπείγοντος εἰς τὸ αὐτῆς εἶδος τὸ ἑαυτῶν μεταβάλλουσιν. ὅμοιον τῷ, Πολύποδος πολυχρόου νόον ἔσχ ε . Ἄλλος οὗτος Ἡρακλῆς : ἐπὶ τῶν ἰσχυρῶν καὶ κραταιῶν.

2 41 Ἅλα καὶ κύαμον : ἐπὶ τῶν εἰδέναι μὲν προσποιουμένων, οὐκ εἰδότων δέ· οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασιν. ὅθεν καὶ τοὺς ἀπορρήτων κοινωνοῦντας τοὺς περὶ ἅλα καὶ κύαμον ἔλεγον. Ἅλις δρυός : ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα μεταβαλλομένων· παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοὶ μετεῖχον σίτου καὶ οἴνου.

2 43 Ἄλλος βίος , ἄλλη δίαιτα : ἐπὶ τῶν ἐπ' ἀμείνονα βίον μεταβαλλομένων. Ἀλ λ ' οὐδὲν δεῖ περὶ τὸν βωμὸν τὰς ἐπινοίας : ὅτι οὐ δεῖ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι· οἱ γὰρ τὰ ἱερεῖα προσάγοντες οὔκουν μετὰ τὸ καλλιερῆσαι βουλεύονται.

2 45 Ἀλ λ ' οὐκ αὖθις ἀλώπηξ : λείπει τὸ ἁλώσεται. ἐπὶ τῶν πονηρῶν. Ἄλλα μὲν Λεύκωνος ὄνος φέρει , ἄλλα δὲ Λεύκων : ἐπὶ τῶν ἀσυμφώνους τοὺς λόγους τοῖς ἔργοις παρεχομένων.

2 46 Λεύκων γάρ τις γεωργὸς μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν ἐκόμιζεν εἰς Ἀθήνας, κριθὰς τοῖς φορμοῖς ἐπιβαλὼν ὡς ὀλίγον εἰσπραχθησόμενος τέλος. τοῦ δὲ ὄνου πεσόντος οἱ τελῶναι βοηθῆσαι βουλόμενοι ἔγνωσαν ὅτι μέλι ἐστίν. Ἄλλο γένος κώπης : ἐπὶ τῶν περὶ τὸ ἔθος ἐνηλλαγμένων.

2 47 Ἡρακλῆς γὰρ διαπεραιούμενος ἐπὶ τὰς Ἐρυθείας βοῦς, ἱστίῳ τῇ λεοντῇ ἐχρήσατο, ἱστῷ δὲ τῷ ῥοπάλῳ· ἐφ' ᾧ καὶ ἐλέχθη. Ἄλλη τορέλλη : σκῶμμα γερόντων· ἐκ τοῦ σορὸς γίνεται.

2 49 Ἀλλότρια βάλλειν : ἐπὶ τῶν ἀποτυγχανόντων ἢ ἐν τῷ κυβεύειν ἢ ἐν ἄλλῳ τινί. Ἄλλως ἀναλίσκεις ὕδωρ : ἐπὶ τῶν ματαιολογούντων.

2 50

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων. Ἀλλότριον ἀμᾷς θέρος : ἐπὶ τῶν κατολιγωρούντων ἐν τοῖς ἀλλοτρίοις ἢ τὰ ἀλλότρια καρπούντων.

2 52 Ἀλ λ ’ οὐ λαχοῦ ς ’ ἔπινες ἐν τῷ γράμματ ι ; ἐπὶ τῶν μεθυόντων. οἱ γὰρ Ἀθηναῖοι κατὰ γράμμα ἐκληροῦντο ἀπὸ τῶν φυλῶν. δέκα δὲ ἦσαν αἱ φυλαί. οἷον ἡ πρώτη, τὸ ἄλφα, ἡ δὲ δευτέρα τὸ βῆτα εἶχε σημεῖον, μέχρι τοῦ κάππα· δέκα γὰρ οὐσῶν φυλῶν δέκα ἐγίνοντο δικαστήρια. ὁ οὖν λαχὼν τὸ ἄλφα πρῶτος ἐδίκαζε, καὶ οἱ ἄλλοι ὁμοίως. τάχα οὖν σὺ λαχοῦσα, φησίν, οὐκ ἐδίκαζες ἀλλ’ ἔπινες. Τὸ α μετὰ τοῦ μ.

2 53 Ἀμαλθείας κέρας : ἐπὶ τῶν ἀφθόνως καὶ εὐδαιμόνως ζώντων· ὅτι τῇ τροφῷ αὐτοῦ Ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσῃ αὐτὸν παρέσχε κέρας αἰγός, δι’ οὗ ἐπέβλυζεν αὐτῇ πᾶν ὃ ἂν ᾐτήσατο. Καὶ ἄλλως. Λέγεται τὴν Ῥέαν τεκοῦσαν τὸν Δία δεδωκέναι τῇ Ἀμαλθείᾳ τρέφειν· ἡ δὲ, μὴ ἔχουσα, αἰγὶ ὑπέβαλεν αὐτόν· ὅθεν Αἰγιοῦχος ἐκλήθη. Ὁ τοίνυν Ζεὺς τὴν μὲν αἶγα καθιστόρησεν ἐν τῷ οὐρανῷ· τὸ δὲ ἓν τῶν κεράτων ἀφελὼν τῇ Ἀμαλθείᾳ δέδωκε, παρασκευάσας αὐτῇ γενέσθαι πᾶν ὅπερ αἰτήσει διὰ τοῦ κέρατος ⁝ Ὁ δὲ Παλαίφατος περὶ Ἀμαλθείας οὕτω φησίν· ὅτι Ἡρακλῆς ἀποδημῶν κατὰ Βοιωτίαν μετὰ Ἰολάου τοῦ ἀδελφιδοῦ καταλύει ἐν Θεσπιαῖς ἔν τινι πανδοχεῖ, ἐν ᾧ ἦν τις γυνὴ καλουμένη Ἀμάλθια, ὡραία καὶ καλή· ὁ δὲ Ἡρακλῆς ἡδόμενος αὐτῇ πλείονα χρόνον ἐξενίζετο. Ἰόλαος δὲ βαρέως φέρων ἐπινοεῖ τὴν ἐμπωλὴν τῆς Ἀμαλθείας ἐν κέρατι κειμένην ἀνελέσθαι· ἐξ ἧς ἐμπωλῆς, εἴτι ἤθελεν, ὠνεῖτο καὶ τῷ Ἡρακλεῖ. ἔλεγον οὖν οἱ συνέκδημοι, Ἡρακλῆς τὸ κέρας ἔσχε τῆς Ἀμαλθείας, ἐξ οὗ ὠνεῖτο ὅσα βούλοιτο ἐπ’ αὐτῷ· ὅθεν ὁ μῦθος προσανεπλάσθη. Ἀμαῖα τὴν Ἀζησίαν μετῆλθεν : ἐπὶ τῶν πολυχρονίοις ζητήσεσι χρωμένων· Ἀμαῖα γὰρ ἡ Δημήτηρ, Ἀζησία δὲ ἡ Κόρη.

2 55 Ἅμαξα τὸν βοῦν ἕλκει : ἐπὶ τῶν ἀντιστρόφως τι ποιούντων. Ἀμφιδρομίαν ἄγεις : τὴν πέμπτην ἄγουσιν ἐπὶ τοῖς βρέφεσιν, ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως, τὸ δὲ βρέφος παραφέρουσι τὴν ἑστίαν τρέχοντες, καὶ δῶρα πέμπουσιν οἱ προσήκοντες, ὡς ἐπιτοπλεῖστον πολύποδας.

2 56 λέγεται ἐπὶ τῶν καθαιρομένων· καὶ Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως. ἡμέρα τις ἤγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος παρὰ τὴν ἑστίαν ἔτρεχον φέροντες καὶ παρὰ τῶν οἰκείων καὶ φίλων πολύποδας καὶ σηπίας ἐλάμβανον. Ἀμφιθέτῳ ἔπινες : ἐπὶ τῶν ζωροποτούντων.

2 57 Ἀμφίθετος δέ ἐστι φιάλη, ἣ κατὰ πᾶν μέρος αὐτῆς τιθεμένης ἀπύθμενος· οὐ τὸ παρ’ ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος, ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν. Ἀμφιθαλὴς Ἔρως ἐστὶν ἐν ὑμῖν : ὁ ἐν ἀμφοτέροις θάλλων ἢ φίλοις ἢ γονεῦσι, καὶ μηδενὸς ὠρφανισμένος.

2 59 Ἁμαρτίης αἰτίη , ἡ ἀμαθίη τοῦ κρέσσονος : ἐκ τῶν γνωμῶν τοῦ Δημοκράτους. Ἄμυρις μαίνεται : ἐπὶ τοῦ φρενήρους.

2 60 οὗτος θεωρὸς ὑπὸ Συβαριτῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας, καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν Συβαριτῶν ἔσεσθαι τότε, ὅτ’ ἀνθρώπους θεῶν προτιμήσωσι, θεασάμενος δοῦλον πρὸς ἱερῷ μαστιγούμενον, καὶ προσφυγόντα τῷ ἱερῷ καὶ μὴ ἀπολλύμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρὸς μνῆμα καταφυγόντα ἀπολυθῆναι, συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὴν οὐσίαν, ἀπῆρεν εἰς Πελοπόνησον· ὃ οὖν λογισμῷ πεποίηκε, τοῦτ’ εἰς μανίαν Συβαρῖται μετέστρεψαν· ὁ δὲ τῷ χρόνῳ διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη. Ἅμματα πλέκεις : ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους.

2 61 ἀπὸ τῶν ἐν Κασίῳ Πηλουσιωτῶν, οἳ φυσικῇ τέχνῃ ἅμματα ἔπλεκον δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες. Ἀμυστὶ πίνειν : λέγεται ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων, οἱονεὶ μηδὲ μυσάντων.

2 62 Τοῦ αὐτοῦ ἔχεται καὶ τὸ ἐξαμυστῆσα ι . Ἄμας ἀπήτουν , οἱ δ ’ ἀπηρνοῦντο σκάφας : ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτούντων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2 64 Ἁμαρτεῖν οὐκ ἔνεστι δὶς ἐν πολέμῳ : παρόσον οὐδ’ ἅπαξ ἁμαρτεῖν δεῖ· οὐχ ὅτι ἐν τῷδε, ἀλλὰ καὶ ἐν ἄλλοις. Ἀμνία θερίζειν : ἐπὶ τῶν χρόνῳ ὕστερον τιμωρουμένων.

2 65 ὅταν γὰρ ἀμνία ᾖ, οὐκ ἀποκείρεται. Ἅ μ ’ ἠλέηται καὶ τέθνηκεν ἡ χάρις : ἐπὶ τῶν ἀχαρίστων εὐεργετηθέντων μὲν, ταχέως δὲ ἐπιλανθανομένων τῆς χάριτος.

2 67 Ἀμουσότερα Λειβηθρίων : ἐπὶ τῶν ἀπαιδεύτων. Λειβήθριον γὰρ ὄρος Πιερικόν, οὔτε μέλους ἁπλῶς οὔτε ποιήματος ἔννοιαν λαμβάνον. Ἀμείνων οἰωνῶν τυχεῖν : ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὰ μεταβαινόντων.

2 69 Ἀμελοῦς γωνία : ἐπὶ τῶν ῥαθύμως καὶ ἀργῶς καθημένων. ἔστι γὰρ χωρίον Λιβύης ἐν ἀποκρύφῳ ἀμελοῦς γωνία καλούμενον. Ἀμφικτυονικὸν συνέδριον : τὸ Ἑλληνικὸν καὶ δίκαιον.

2 70 συνήγετο δὲ ἐν Θερμοπύλαις. ὠνομάσθη δὲ ἤτοι ἀπὸ Ἀμφικτυόνος τοῦ Δευκαλίωνος, ὅτι αὐτὸς συνήγαγε τὰ ἔθνη βασιλεύων, ὥς φησι Θεόπομπος ἐν ὀγδόῃ· ταῦτα δὲ ἦν δώδεκα· Ἴωνες Δωριεῖς Περῤῥαιβοὶ Βοιωτοὶ Μέδοντες Ἀχαιοὶ Φθιῶται Μηλιεῖς Δόλοπες Αἰνιᾶνες Δελφοὶ Φωκεῖς· ἢ ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς συναχθέντας, ὡς Ἀναξιμένης ἐν πρώτῃ Ἑλληνικῶν. Ἄμμον μετρεῖν : ἐπὶ τῶν ἀδυνάτων. [5]

2 72 Ἄμμες πό τ ’ ἦμες ἄλκιμοι νεανίαι : Λακωνικὴ ἡ παραβολὴ ἀντὶ τοῦ, ἡμεῖς ποτ’ ἦμεν· τριῶν γὰρ χορῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας καὶ συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος τοῦτ’ ἔλεγεν· ὁ δὲ τῶν νεωτέρων καὶ ἀκμαζόντων· Ἄμμες δέ γ ’ ἐσμὲ ν , αἰ δὲ λῇ ς , πεῖραν λαβέ · ὁ δὲ τῶν νηπίων καὶ οὔπω ἀκμαζόντων· Ἄμμες δέ γ ’ ἐσσόμεσθα πολλῷ κάῤῥονε ς . Ἄμμες πο τ ’ ἦμε ν . [5]

2 73 ἀεὶ τὰ πέρυσι βελτίω : ταπεινούμενοι Ἀθηναῖοι τοῦτ’ ἔλεγον. Ἀμύνει ὡς ἔοικεν ἡ πάγη : ἐπὶ τῶν διὰ τῆς ἄλλων ἀπωλείας σωζομένων.

2 75 Ἀμαθὴς ἀναξυρίδα περιθέμενος πᾶσι ταύτην ἐδείκνυ : ἐπὶ τῶν εὑρόντων τύχῃ τινά, ὧν οὐκ ἦσαν ἄξιοι. Ἁμαξιαῖα ῥήματα : ἐπὶ τῶν μεγάλων λόγων.

2 77 Ἅ μ ’ ἔπος , ἅ μ ’ ἔργον : ἐπὶ τῶν ὀξέως ἀνυομένων. Ἅμα δίδου καὶ λάμβανε : ὅταν πρὸς ἄπιστον συναλλάσσωμεν.

2 79t Τὸ α μετὰ τοῦ ν. Ἀναίσχυντος καὶ σιδηροῦς ἄνθρωπος : ἐπὶ τῶν ἀπηρυθριακότων καὶ μηδεμίαν μεταβολὴν τοῦ προσώπου ποιουμένων.

2 80 Ἀντὶ χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς : ἐπὶ τῶν μὴ ταῖς ἰδίαις τέχναις ἀρκουμένων, ἀλλὰ καὶ παρ’ ὧν οὐκ ἴσασι δόξαν ἐφελκομένων προσποίητον. Περίανδρος γάρ τις ἰατρὸς ἀξιόλογος κατὰ τέχνην ὢν καὶ ἐπαινούμενος ἐς τὰ μάλιστα φαῦλα ποιήματα ἔγραφεν. Ἂν τοὺς φίλους μισῶμεν , τί ποιήσομεν τοὺς μισοῦντας : ἐξ ἀποφθέγματος. [5]

2 82 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι : ἐπὶ τῶν ἐν τοῖς κακοῖς μηδεμίαν εὑρισκόντων παρὰ τοῖς φίλοις ὠφέλειαν. Ἀνδραποδώδης θρίξ : ἐπὶ τῶν ἠλιθίων.

2 83 Πλάτων· ἔχοντας ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑ π ’ ἀμουσία ς . Ἀνδριάντα γαργαλίζεις : ἐπὶ τῶν ἀδυνάτων.

2 85 Ἀν τ ’ εὐεργεσίας Ἀγαμέμνονα δῆσαν Ἀχαιοί : ἐπὶ τῶν ἀχαρίστων. Ἄνθρακες ὁ θησαυρός : ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθά, κακουμένων δὲ ἀφ’ ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς.

2 86 ἢ ἐπὶ τῶν ἐφ’ οἷς ἤλπισαν διαψευσθέντων, ὡς Λουκιανός· Ἄνθρακάς μοι τὸν θησαυρὸν ἀπέφηνα ς . Ἂν πολλὰ βάλῃς , ἄλλο τ ’ ἀλλοῖον βαλεῖς : ἐπὶ τῶν ἐπὶ πολλῶν καὶ παντοδαπῶν λόγων ἢ ἔργων ἐπιτυγχανόντων τοῦ ζητουμένου ἢ τοῦ σκοποῦ.

2 88 Ἄνθρωπος εὔριπος : ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων. Ἄνθρωπος ἀνθρώπου δαιμόνιον : ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπου σωζομένων.

2 90

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀντρώνιος ὄνος : καί· Ἀχαρνικοὶ ἵπποι : ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ ἀνενεργήτων· τοιοῦτοι γὰρ οἱ ὄνοι ἐν Ἄντρωνι καὶ οἱ ἵπποι ἐν Ἀχαρναῖς, ὡς Φερεκράτης φησί ⋮ Ἀκούω τῶν Σκυθῶν βασιλέα ἵππον σπουδαίαν ἔχειν πᾶσαν ἀρετήν, ὅσην οἱ ἵπποι ἀπαιτοῦνται, ἔχειν δὲ καὶ υἱὸν αὐτῆς ἐκείνης τῶν ἄλλων ἀρετῇ διαπρέποντα. οὔκουν εὑρίσκοντα οὔτε ἐκείνην ἄλλῳ περιβαλεῖν ἀξίῳ, οὔτε ἐκεῖνον ἐπαγαγεῖν ἄλλῃ, συναγαγεῖν ἄμφω εἰς τὸ ἔργον· τοὺς δὲ τὰ μὲν ἕτερα ἀσπάζεσθαι σφᾶς καὶ φιλοφρονεῖσθαι, οὐ μὴν ἐγχρίπτεσθαι. οὔκουν τῆς ἐπιβουλῆς τοῦ Σκύθου σοφώτερα ἦν τὰ ζῷα, ἐπηλύγασεν ἱματίοις καὶ τὸν καὶ τήν, καὶ ἐξειργάσατο τὸ ἔκνομόν τε καὶ ἔκδικον ἐκεῖνο ἔργον. ὡς δὲ ἄμφω συνεῖδον τὸ πραχθέν, εἶτα μέντοι τὸ ἀσέβημα διελύσαντο θανάτῳ, πηδήσαντε κατὰ κρημνοῦ. Ἀνέλπιστον βίον ζῇς : τὸν κάλλιστον εἰρήκασιν Ἀττικοί, ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτόηνται, ἀλλὰ πάρεστιν ἤδη τὰ ἀγαθά.

2 91 οὕτω Πίνδαρος. Ἄνω ποταμῶν : λείπει, χωροῦσι πηγαί : ἐπὶ τῶν ἐναντίως λεγομένων· ὡς ὅταν ὁ πόρνος τὸν σώφρονα λέγῃ πόρνον.

2 93 Ἀνεῤῥίφθω κύβος : ἐπὶ τῶν ἀνελπίστοις ἑαυτοὺς ἐπιῤῥιπτόντων ὑπό τινος βίας συνωθουμένων. Ἂν χωλῷ παροικήσῃς , ὑποσκάζειν μαθήσῃ : ὅτι οἱ βαρβάροις καὶ μοχθηροῖς συναναχρωννύμενοι ἀποφέρονταί τι τῆς ἐκείνων φαυλότητος: Ἀνίπτοις χερσίν : ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων.

2 96 Ἀναγυράσιος δαίμων : ὠμότατος ὁ Ἀναγύρασος οὗτος. Ἀνὴρ ἀτεχνὴς τοῖς πᾶσιν ἐστὶ δοῦλο ς .

2 98 Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν , ἀλ λ ’ αὐτὸς ἐλθὼν ἐπρίατο : ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων. Κροῖσος γὰρ ἑαυτῷ πολέμιον ἀπεσπᾶτο Κῦρον. Ἀντλεῖ ἀμφοτέροις : ἐπὶ τῶν σπουδῇ τι ποιούντων· ὁμοία τῇ· Πάντα κάλων κινεῖ ς .

2 100 Ἀντιπελαργεῖν : ἀντιδιδόναι χάριτας. λέγεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν. Ὁ Ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον ἀληθῆ· ὁμοίως δὲ αὐτοῖς φησι ποιεῖν καὶ τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ἱππόταμον, δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. ὁ δὲ ἱπποταμός ἐστι ζῷον ἀδικώτατον. Ἀντιόπης θρῆνος : ἐπὶ τῶν ἀδίκως πασχόντων, εἶτα τῶν δεινῶν ἀπαλλαγῆς τυχόντων.

3 1 Ἀντιόπη θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν. ὁ δὲ πατὴρ πέμπει τῷ ἀδελφῷ κολάσαι. ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος ᾤκτειρεν· ἡ δὲ γεννᾷ Ζῆθον καὶ Ἀμφίονα, οὓς εἰς ὄρος ἔῤῥιψεν ὁ θεῖος· εἶχε δὲ γυναῖκα ὄνομα Δίρκην, ἥτις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκον φιλεῖν τὴν Ἀντιόπην, ἀνάγει αὐτὴν εἰς ὄρος, καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλου ταύρου, καὶ ἀνάψασα δᾶδας, ἀπὸ τῶν αὐτοῦ κεράτων ἔμελλεν αὐτὴν ἀπολύειν. ἡ δὲ ἐθρήνει, καὶ θορύβου γενομένου ἠθροίσθη πλῆθος γεωργῶν, καὶ οἷς καὶ Ζῆθος καὶ Ἀμφίων. καὶ γνωρίσαντες τὴν μητέρα αὐτῶν ἐῤῥύσαντο αὐτήν, τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ. Ζῆθος καὶ Ἀμφίων κτίζουσι Θήβας καὶ βασιλεύουσι, καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου, τοῦ μετακληθέντος Οἰδίποδος. Ἂν οἶνον αἰτῇ , κόνδυλον αὐτῷ δίδου : ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, κακὰ δὲ ἀντιλαμβανόντων· ἡ δὲ ἱστορία ἀπὸ τοῦ Κύκλωπος.

3 3 Ἀνέμους γεωργεῖν : πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς μεταλαγχάνοντας. Ἄνους ὁ μακρὸ ς , κατὰ τὴν παροιμίαν· ἧς ἐναντία· Ἔννους ὁ μακρὸς λῆρος ἡ παροιμία.

3 5 Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον : ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων· πᾶν γὰρ τὸ σῶμα τοῦ γέροντος ἀσθενές. Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται : ὁμοί α , Τῇ ἀνάγκῃ χρὴ πείθεσθα ι .

3 7 Ἀντὶ πέρκης σκορπίον : ἐπὶ τῶν τὰ χείρω ἀντὶ τῶν βελτιόνων αἱρουμένων. Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.

3 8

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θνητὸς πεφυκὼς τἀπί σοι πειρῶ βλέπειν. Ἀνδρὸς γέροντος οἱ γνάθοι βακτηρία : ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων.

3 10 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον : ἐπὶ τῶν ἀπροσδοκήτως ὑπ’ ἀνθρώπου σωζομένων. Ἀνὴρ φεύγων οὐ μένει λύρας κτύπον : ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.

3 12 Ἄντης ποτός : ἐπὶ τῶν ἄγαν ψυχρῶν· ψυχρὸς γὰρ οὗτος ἐστίν. Ἄνεμον δικτύῳ θηρᾷς : ἐπὶ τῶν ἀδυνάτων.

3 14 Ἀνέμου πεδίον : ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων. Ἄνευ ἀπὸ μείζονος ἀνδρός : παραινετικὴ ἡ παροιμία.

3 16 Ἄνευ ξύλου μὴ βάδιζε : περὶ Κλεομένους λέγει· ὃς στρατιώτης ὢν Ἀθηναῖος προσεποιεῖτο πρὸς τοῖς ἄλλοις κακοῖς καὶ μανίαν, εἰδὼς ὅτι μισεῖται παρὰ τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιήει, δι’ ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ. Ἀνόητος νεοττὸς ἑκὼν δείκνυσι τὴν ἑαυτοῦ νοσσιά ν . [5]

3 18 Ἄνθρωπος εὔριπος : τύχη εὔριπος : διάνοια εὔριπος : ταῦτα ἐπὶ τῶν παλιμβόλων. Ἀνεπαρίασαν : ἐπὶ τῶν μεταγινωσκόντων ἐπί τινι.

3 19 οἱ γὰρ Πάριοι ὁμολογήσαντες παραδώσειν Ἀθηναίοις τὴν πόλιν ὕστερον μετέγνωσαν. Ἀνίπτοις ποσὶν ἀναβαίνει ἐπὶ τὸ τέγος : ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων.

3 21 Ἀναίμακτον ἔστησε τρόπαιον : ἐπὶ τῶν ἄνευ κινδύνων καὶ φόνων μέγα τι κατωρθωκότων. Ἀντὶ κακῆς κυνὸς ὗν ἀπαιτεῖς : ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀποδιδόντων.

3 23 Ἀνεῳγμέναι Μουσῶν θύραι : ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα ἐπὶ τῇ παιδείᾳ. Ἂν μὴ λεοντῆ ἐξικνεῖται , τὴν ἀλωπεκῆν πρόσαψον : ὁ νοῦς· ἂν μὴ φανερῶς ἀμυνόμενος ἀντέχῃς, πανουργίᾳ χρῆσαι.

3 25t Τὸ α μετὰ τοῦ ξ. Ἄξιος τριχός : ἐπὶ τοῦ εὐτελοῦς καὶ τοῦ τυχόντος.

3 26 Ἄξιος τοῦ παντός : ἐπὶ τῶν σφόδρα τιμίων. Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος : ἐπὶ τῶν εὐγενῶν καὶ εὐδαιμόνων· οἱ γὰρ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατὰ νόμιμον παλαιὸν τὰς ἀσπίδας φέροντες πομπεύουσιν.

3 28 Ἀξία ἡ κύων τοῦ θρόνου : ἐπὶ τῶν παρ’ ἀξίαν τινὸς τυγχανόντων. Ἄξιος λαβεῖν ὁ μισθός : ἐπὶ τῶν εἰς κάλλος ἠσκημένων.

3 30t Τὸ α μετὰ τοῦ π. Ἀπαιδευτότερος Φιλωνίδου τοῦ Μελιτέως : οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀμαθὴς καὶ ὑώδης· κωμῳδεῖ δὲ αὐτὸν Ἀριστοφάνης ὡς παρασίτους ἔχοντα, καὶ διὰ τὸν Λαΐδος ἔρωτα.

3 30 κωμῳδεῖται δὲ ὡς συώδης ἐν τοῖς ἑταίροις αὐτοῦ. Ἀπιὼν ἐς Ἀπατούρια , ἐπανῆκες Θαργηλιῶνα : ἐπὶ τῶν ἄγαν βραδυνόντων. [5]

3 31 Ἀπατούρια δὲ ἦν ἑορτὴ Ἀθήνῃσιν, ἣν ἦγον ἐπὶ τρεῖς ἡμέρας. ἐκάλουν δὲ τὴν μὲν πρώτην Δορπίαν, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο. τὴν δὲ δευτέραν Ἀνάῤῥυσιν ἀπὸ τοῦ θύειν· ἔθυον δὲ Διῒ Φατρίῳ καὶ Ἀθηνᾷ. τὴν δὲ τρίτην Κουρεῶτιν ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φατρίας· ἡ δὲ αἰτία· πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Μελαίνων, ὃ ἦν χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτὸς προσεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην· οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν, Μεσήνιος γένος ἀπὸ Περικλυμένους τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. Μονομαχούντων δὲ ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξανθίου τραγῆν ἐνειμένος μέλαιναν. ἔφη οὖν αὐτὸν ἀδικεῖν δεύτερον ἥκοντα· ὁ δὲ ἀπεστράφη· ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια καὶ Διονύσου Μελαναιγίδος βωμὸν ἐδομήσαντο. ὁ δὲ Θαργηλιών ἐστι μὴν Ἀθηναῖος, καθ’ ὃν καὶ ἑορτὴ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, Θαργήλια λεγομένη· ἐν ᾗ ἥψουν ἀπαρχὰς τῷ θεῷ τῶν πεφηνότων καρπῶν, ἵσταντο

δὲ ἐν αὐτῇ καὶ χοροὶ καὶ ἀγὼν Θαργήλια. Ἔφορος δὲ ἐν δευτέρᾳ φησίν, ὡς διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην ἐκλήθη. πολεμούντων γὰρ Ἀθηναίων πρὸς Βοιωτοὺς ὑπὲρ τῆς Μελανίας χώρας Μέλανθος ὁ τῶν Ἀθηναίων βασιλεὺς Ξάνθον τὸν Θηβαῖον μονομαχῶν ἀπατήσας ἀπέκτεινεν. Ἄπνοια ἐχίνου : ἐπὶ τῶν προσποιουμένων τεθνάναι ⋮ Ὁ γὰρ χερσαῖος ἐχῖνος μέλλων ἁλίσκεσθαι ἑαυτὸν συνειλήσας ἄληπτον ἐργάζεται, εἶτα μέντοι καὶ πιέζει τὸ πνεῦμα καὶ ἀκίνητος ἀτρεμεῖ καὶ τὸν τεθνεῶτα ὑποκρίνεται.

3 33 Ἀπορία ψάλτου , βήξ : ἐπὶ τῶν προσχηματιζομένων τι ἀδυνασίᾳ. Ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι : θέλει οὖν λέγειν· βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις.

3 34 κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπὸ ἀγαθοῦ ἢ φαύλου πάσχειν. Ἁπαλοὶ θερμολουσίαις , ἁβροὶ μαλθακευνίαις : ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων.

3 36 Ἀπόγλουτος ὑπάρχεις : ἀντὶ τοῦ ναυτικός. Ἀπόγλουτοι δὲ κυρίως ἐκαλοῦντο οἱ Ἀθηναῖοι ἕνεκα τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς καθέδρας· οἱ δὲ, διὰ τὸ Θησέα μετὰ Πειρίθου καταβάντα εἰς ᾅδου καὶ πρός τινα πέτραν ὑπὸ Περσεφόνης ἐπικαθισθέντα σὺν τῷ Πειρίθῳ, Ἡρακλέους ἐπὶ τὸν Κέρβερον κατελθόντος, παρὰ τῆς θεοῦ τε αὐτὸν ἐξαιτουμένου, καὶ τῆς πέτρας ἀποσπῶντος, ἐγκαταλειφθῆναι τὸ προσηνωμένον αὐτῇ τῶν γλουτῶν μέρος. διὸ καὶ εἰς τιμὴν ἐκείνου καὶ τοὺς λοιποὺς Ἀθηναίους οὕτως ἐπωνομάζεσθαι. Ἀ π ʼ ἀκροφυσίων λόγους ἐνδεικνύναι : οἱονεὶ καινοὺς καὶ νεοποιήτους.

3 37 Ἀριστοφάνης· Ῥήματά τε κομψὰ καὶ παίγνια ἐπιδεικνύναι πάντα ἀ π ʼ ἀκροφυσίων τῶν ἀπὸ κινναβευμάτων · λέγει γὰρ διὰ μὲν τοῦ ἀπʼ ἀκροφυσίων καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρὸς, διὰ δὲ τοῦ ἀπὸ κινναβευμάτων οἷον καινῶς πεπλασμένα καὶ διάθεσιν ἔχοντα· κίνναβος γὰρ τὸ εἴδωλον, πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. Ἔστι δὲ εἴδωλον σκιῶδες ὁμοίωμα ἢ φαντασία σώματος ἀεροειδής τε σκιά. Ὡς δὲ Βακχυλίδης· Μελεμβαφὲς εἴδωλον ἀνδρὸς Ἰθακησίο υ . Καὶ ὁ ποιητὴς, Ἀντικλείας· Τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελο ν . αὐτὸς δὲ ἡ ὑπόστασις ἡ ἀληθής. Ἀποῤῥὼξ Ἐριννύων : ἐπὶ τῶν ἄγαν τιμωρούντων.

3 39 Ἀπόλογος Ἀλκίνου : ἐπὶ τῶν φλυάρους καὶ μακροὺς ἐπιτεινόντων λόγους. Ἀπίδων πανδαισία : ἐπὶ τῶν ἄγαν τρυφηλῶν.

3 40 Ἄπιδες δὲ θεοὶ ἦσαν Αἰγύπτιοι, τιμώμενοι παρʼ αὐτοῖς, σημεῖον ἔχοντες παρὰ τὴν οὐρὰν καὶ τὴν γλῶτταν, δηλοῦν εἶναι αὐτοὺς Ἄπιδας· οἷς γεννωμένοις διὰ χρόνου ὡς ἔλεγον ἐκ τοῦ σέλαος τῆς σεληνίδος ἑορτὴν ἦγον μεγάλην, καὶ ἱερεῖς τινες παρὰ τὸν τεχθέντα βοῦν ἱερῶντο παρατιθέντες πανδαισίαν ὡς εὐωχοῦντες αὐτούς. Ἀπὸ μηχανῆς θεὸς ἐπιφανείς : ἐπὶ τῶν ἀπροσδοκήτως ἐπʼ ὠφελείᾳ τινὶ ἀναφαινομένων.

3 41 ἐν γὰρ ταῖς τραγῳδίαις θεοὶ ἐξ ἀφανοῦς ἐπὶ τῆς σκηνῆς ἐφαίνοντο. Ἀπελθόντων τῶν ὀμμάτων τὰ τῆς μνήμης ἄξια ἐκ τοῦ νοῦ ῥᾳδίως ἐκφεύγει.

3 43 Ἅπαν θ ʼ ὅμοια καὶ Ῥοδῶπις ἡ καλή : σημαίνει ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί. Ἅπασαν τὴν οὐσίαν ἠμφίασται : ἐπὶ τῶν μηδʼ ὁτιοῦν ἄλλο κεκτημένων ἢ ὅπερ ἀμπίσχονται.

3 45 Ἀποστολικὴν διάγεις πολιτείαν : ἐπὶ τῶν ἐναρέτως καὶ θεαρέστως βιούντων. Ἔστι δὲ αὕτη· ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, σώματος δουλαγωγία, φρόνημα ταπεινόν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμός· ἀγγαρευόμενος προστίθει, ἀποστερούμενος μὴ δικάζου, μισούμενος ἀγάπα, βιαζόμενος ἀνέχου, βλασφημούμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, σταυρώθητι τῷ Χριστῷ, ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν Κύριον. Ἅπερ οἱ γῦπες : λείπει τὸ ποιεῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3 46 ἐπὶ τῶν διὰ κληρονομίαν ἢ ὅλως κέρδος οἱονοῦν παρεδρευόντων τισίν· οἱ γὰρ γῦπες τοῖς θνησιμαίοις παρεδρεύουσι. Ἀποῤῥαγήσεται τεινομένων τὸ καλώδιον : ἐπὶ τῶν βίᾳ τι καὶ ἀνάγκῃ ποιούντων.

3 47 καὶ Λουκιανός· Ὅρα μὴ κατὰ τὴν παροιμίαν ἀποῤῥήξωμεν διατείνοντες τὸ καλλώδιο ν . Ἀπὸ γραμμῆς : οἷον, ἀπ’ ἀρχῆς.

3 48 εἴρηται δὲ ἀπὸ τῆς τῶν δρομέων γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβίδα καλοῦσιν. Ἀπόλεμος : τίθεται ἐπὶ τῶν μηδεμίαν πρόφασιν ἐχόντων πολέμου, δρασάντων δὲ τὰ πολεμίων.

3 50 Ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι : ἐπὶ τῶν ἐν ἐσχάτῳ κινδύνῳ ὄντων. Ἀποφράδες ἡμέραι : αἱ ἀνεπιτήδειοι πρὸς πράξεις, ἐν αἷς καὶ τοῖς κατοιχομένοις χοὰς ἐπέφερον.

3 52 Ἀπὸ λύκου θύρας : ἐπὶ τῶν ἀπράκτως εὐθὺς ἀπιόντων· οἱ δὲ ἐπὶ τῶν ἀπηνῶν καὶ ἀγρίων. Ἄπλυτον πώγω ν ’ ἔχεις : σκώπτων εἰπέ.

3 54 Ἀ π ’ ὄνου καταπεσών : ἀπὸ τῶν ἱππικῇ ἐπιχειρούντων, μὴ δυναμένων δὲ μηδὲ ὄνοις χρῆσθαι· Ἀριστοφάνης ἐν Νεφέλαις· Τί δῆτα ληρεῖ ς . ὥσπερ ἀ π ’ ὄνου καταπεσώ ν ; Ὁ δὲ Πλάτων· Ἀπ’ ὄνου καταπεσὼν, ἐν τοῖς Νόμοις· Καὶ μὴ καθάπερ ἀχαλίνωτον στόμα βίᾳ ὑπὸ τοῦ λόγου φερόμενο ν . Ἄπληστος πίθος : ἐπὶ τῶν γαστριμαργούντων· ἢ ἐπὶ τῶν ἀδυνάτων· τετρημένος γὰρ ἦν.

3 56 Ἀπὸ μείζονος ἀνδρὸς ἄλευ : ἤγουν φυλάττου. ἔστι δὲ ἰωνικόν. Ἀπὸ βραδυσκελῶν ὄνων ἵππος οὔρησεν : ἐπὶ τῶν ἐξ εὐτελῶν ἐπὶ τὰ μείζω χωρούντων.

3 58 Ἅπαντα σοφοῖς ῥᾷστα : ἐπὶ τῶν διὰ φρόνησιν καὶ τῶν δυσκόλων περιγινομένων. Ἄπαγε μόθωνα ἀπὸ κώπης : ἐπὶ τῶν διοχλούντων παρὰ καιρὸν τοῖς σπουδάζουσιν· ὁ γὰρ μόθων φορτικῆς ὀρχήσεως εἶδος.

3 60 Ἀπώλεσας τὸν οἶνον , ἐπιχέας ὕδωρ : αὕτη γέγονεν ἐκ τοῦ Ἀριστίου Κύκλωπος, ὥς φησι Χαμαιλέων ἐν τῷ περὶ Σατύρων. Καὶ Πολύφημος οὕτω φησὶ πρὸς Ὀδυσσέα ἐν Κύκλωπος δράματι λεγομένῳ. Λέγεται ἐπὶ τῶν τοῖς καλοῖς τὰ χείρω ἐπιμιγνύντων. Ἀπὸ Δωρίου ἐπὶ Φρύγιον : ἀπὸ τοῦ ἀνειμένου εἰς τὸ ἐντονώτερον· καὶ ἀπὸ τοῦ ἥττονος εἰς τὸ κρεῖττον.

3 62 Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ : ἐπὶ τῶν τῇ ἀληθείᾳ χρωμένων. Ἅπας ἐχῖνος τραχύς : ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων.

3 63 ἐξαιρέτως δὲ ἐπὶ κακωτικῶν ἢ εὐνούχων. Ἀπήντησε κακοῦ βολὴ πρὸς ὑπερτάτην ἄτην : ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν.

3 65 Ἀπὸ κώπης ἐπὶ βῆμα : ἐπὶ τῶν ἀπὸ χειρόνων εἰς κρείττονα μεταβιβασθέντων. ἀθρόως καὶ μεγίστοις ἐγχειρούντων. Ἀπόλωλεν ἡ ὗς καὶ τὸ τάλαντον , καὶ ἡ γνάθος : ἐπὶ τοῦ μὴ τυχόντος ὧν ἤλπισεν· ἐπὶ γάμου δὲ ἐῤῥέθη μὴ γενομένου.

3 67 Ἀ π ’ οἰνοχοέως σπάσον : παρόσον οἱ μεθύοντες ἀληθεύουσιν. Ἀπόπληκτος ἄνθρωπος : Μάρκος Ἀντωνίνου ἀδελφὸς βασιλέως Ῥωμαίων ἀδοκήτως διαφθείρεται, πλήθους ἰχῶρός τε καὶ πνεύματος ἐπισχόντος οἱ τὴν ἀναπνοήν· ὃ δὴ πάθος ἀποπληξία καλεῖται καὶ ἀπόπληκτος ἄνθρωπος ὁ πεπονθώς.

3 69 Ἀποτίσεις χοῖρε τὰ γίγαρτα : οἷον ὧν κατέφαγες ἀποδώσεις πλείω. Τὸ α μετὰ τοῦ ρ.

3 70 Ἀράβιος ἄγγελος : Μένανδρος ἐν Ἀνατιθεμένῃ. ἡ Μεσσήνια παρὰ τὴν παροιμίαν. Ἀράβιος αὐλητής : τίθεται δὲ ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων.

3 71 τὸ παλαιὸν δέ φασι τοὺς ἐλευθέρους μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον, τῶν δὲ ἀνδραπόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια. ἐφ’ ὧν ἐλέχθη· Δραχμῆς μὲν αὐλε ῖ , τεττάρων δὲ παύετα ι . καὶ Κάνθαρος Μηδείᾳ· Κιθαρῳδὸν ἐξεγείρατε Ἀράβιον τὸν χορὸν τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ν . καὶ πάλιν Μένανδρος Μεσσηνίᾳ, Ἀράβιον ἆ ρ ʼ ἐγὼ κεκίνηκα αὐλό ν . Ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο : συνυπακούεται τό, δεῖ πλεῖν.

3 73 Ἀρκάδας μιμούμενος : ταύτῃ κέχρηται Πλάτων ἐν Πισάνδρῳ. ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων. μαχιμώτατοι μὲν γὰρ ὄντες αὐτοὶ μὲν οὐδέποτε ἰδίαν νίκην ἐνίκησαν, ἄλλοις δὲ αἴτιοι νίκης πολλοῖς ἐγένοντο. καὶ ὁ Πλάτων οὖν διὰ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν, Ἀρκάδας μιμεῖσθαι ἔφη. Ἀριστᾶν μὲν πολὺ , δειπνεῖν δὲ ὀλίγον : ἐπὶ τῶν ἐρεθιζόντων ἑαυτοὺς εἰς τὰ ἀφροδίσια.

3 75 Ἄργους λόχος : ἐπὶ τῶν σφόδρα συμφοραῖς ἐνεσχημένων· φόνος γὰρ πολὺς ἐκεῖ συνέβη. Ἀργεία φορά : ἐπὶ τῶν συκοφαντούντων· οἱ γὰρ Ἀργεῖοι φιλόδικοι.

3 77 Ἄρτι τὴν ἀρετὴν ζητεῖς : ἐπὶ τῶν παρὰ καιρὸν πονούντων ἐπί τι. Ἀρχιδάμιος πόλεμος : ἐπὶ τῶν λίαν πικρῶν πολέμων.

3 78 Ἀρχιδάμιος δὲ ἐκλήθη ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθάπερ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης καὶ Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ Πυθίου ξενίας. Ἀρκάδιον βλάστημα : ἐπὶ τῶν δειλῶν.

3 80 Ἀρχὴ Σκυρία : ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, παρόσον πετρώδης καὶ λυπηρά. ἀπὸ Θησέως ἐπιθεμένου τῇ Λυκομήδους ἀρχῇ, ὅτι πειρῶν τὴν γυναῖκα αὐτοῦ κατακρημνισθείη· ὀστρακισθῆναι δὲ πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θεόφραστος ἐν τοῖς πρώτοις καιροῖς. Ἄρτι μῦς πίττης γεύεται : ἐπὶ τῶν νεωστὶ πεῖραν τῶν κακῶν λαμβανόντων.

3 81 τὸ γὰρ ζῷον εἰς πίσσαν πίπτον δεινὰ πάσχει. Ἁρμοδίου μέλος : ἐπὶ τῶν σκολιῶν· σκολιὰ γὰρ μέλη ᾖδε· ταὐτὸν δὲ καὶ τὸ Ἀδμήτου μέλο ς .

3 83 Ἀρκαδίην μ ʼ αἰτεῖς : ἐπὶ τῶν μεγάλα ἢ ἀσύμφορα αἰτούντων. Ἀρχαιότερος Ἰβύκου : ἐπὶ τῶν εὐηθῶν.

3 84 οὗτος γὰρ τυραννεῖν δυνάμενος ἀπεδήμησεν. Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον · φύντα δ ʼ ὅμως ὤκιστα πύλας Ἀΐδαο περῆσαι : ἐπὶ τῶν δυστυχῶς βιούντων.

3 86 Ἀρχὴ πολέμων : ἐπὶ τῶν ἀδικεῖν ἐπιχειρούντων. Ἀρχαϊκὰ φρονεῖς : ἐπὶ τῶν μωρῶν καὶ εὐηθῶν.

3 88 Ἀρκάδιον βλάστημα κατεσπάρη : ἐπὶ τοῦ δειλοῦ. Ἄρκτου παρούσης ἴχνη ζητεῖς : ἐπὶ τῶν ἀδήλων ⁝ Ἡ γὰρ ἄρκτος χειμῶνος μὲν ἀποτίκτει, καὶ φωλεύει τεκοῦσα, καὶ ὑφορωμένη τοὺς κρυμοὺς τὴν ἐπιδημίαν τοῦ ἦρος προσμένει, οὐδ᾽ ἂν πρὶν ἢ πληρωθῆναι τρεῖς μῆνας ἐξαγάγοι τὰ βρέφη.

3 89 ὅταν δὲ αἴσθηται ἑαυτῆς πεπλησμένης, ὑφορωμένη τοῦτο ὡς νόσον, ζητεῖ φωλεόν· ἐντεῦθέν τοι κέκληται τῇ ἄρκτῳ φωλεία τὸ πάθος. εἰσέρχεται δὲ οὐδὲ βαδίζουσα, ἀλλ᾽ ὑπτία, ἀφανίζουσα τοῖς θηραταῖς τὰ ἴχνη· ἑαυτὴν γὰρ ἐπισύρει κατὰ νῶτα καὶ παρεισελθοῦσα ἡσυχάζει. Ἀρχὴν ἰᾶσθαι πολὺ λώϊον ἢ τελευτήν : δηλοῖ δὲ ὡς ἀρχόμενα τὰ δεινὰ μᾶλλον πειρᾶσθαι κωλύειν ἢ ἀκμάσαντα καὶ τελειωθέντα.

3 91 Ἀργυραῖς λόγχαις μάχου , καὶ πάντων κρατήσεις : ἀντὶ τοῦ, διὰ χρυσοῦ πάντα νικήσεις. Φιλίππῳ δὲ ἐδόθη τοῦτο χρησμὸς αἰνιττομένου τοῦ θεοῦ ὡς διὰ προδοσίας πάντων κρατήσει. Ἄριστα χωλὸς ὑφεῖ : φασίν, ὅτι αἱ Ἀμάζονες τοὺς γεννωμένους ἄῤῥενας ἐπήρουν· ὅθεν πολεμοῦντες αὐταῖς οἱ Σκύθαι, καὶ βουλόμενοι αὐτὰς ἐξαπατῆσαι, ἔλεγον, ὅτι συνέσονται αὐταῖς ἐς γάμον ἀπήρωτοι καὶ οὐ λελωβημένοι, ὡς τῶν ἐκείνων ἀνδρῶν λελωβημένων ὄντων· ἐξ ὧν ἀποκριθεῖσα ἡ ἡγεμὼν τῶν Ἀμαζόνων, ἄριστ α , φησί, χωλὸς ὑφεῖ · ἀντὶ τοῦ συνουσιάζει.

3 93

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀργύρου κρῆναι καλοῦσιν : ἐπὶ τῶν ἀπαιδεύτων, δι᾽ ὑπερβολὴν δὲ πλούτου παῤῥησιαζομένων. Ἄρνα προβάλλειν : ἐπὶ τῶν πολεμεῖν αἱρουμένων· οἱ γὰρ πολεμεῖν βουλόμενοι κήρυκα ἔπεμπον ἄρνα ἐπιφερόμενον, ὃς ἠφίει ἔνδον τὸν ἄρνα, μηλόβοτον τὴν πόλιν αὐτῶν ἐκ τούτου δεικνύων ἔσεσθαι.

3 95 Ἀρετὴ τριὰς , σύνεσις καὶ κράτος καὶ τύχη : ἐξ ἀποφθέγματος Ἀπολλωνίδου τοῦ Νικαέως. ἄλλοι δέ φασι Δημητρίου τοῦ Σκηψίου. Ἀρετὴν εἰ μὲν ἔχοις πάνθ᾽ ἕξεις· κακίαν δὲ, οὐδὲ σεαυτόν.

3 97 Ἀρχὴ ἥμισυ παντός : ἐπὶ τῶν εἴς τι προκοπτόντων. Ἀρχαιότερα τῆς διφθέρας λέγεις : ἐπὶ τῶν μακρὰ διηγουμένων.

3 98 ἡ γὰρ διφθέρα, ἐν ᾗ ὁ Ζεὺς ὑπεγράφετο τὰ γινόμενα, παμπάλαιος ἦν. Ἀρᾶς ἱερόν : ἐπὶ τῶν πολλὰ ἀρωμένων ἐπὶ χρηστοῖς ἢ φαύλοις.

3 100 Ἀρετῆς τὸ βάρβαρον οὐ ξυνίησιν : ἐπὶ τῶν ἀπαιδεύτων. Ἀρχὴ ἄνδρα δείκνυσιν : ἐπὶ τῶν πρὸ μὲν τῆς ἀρχῆς ἐπιεικῶν δοκούντων, ἐν αὐτῇ δὲ κακῶν φαινομένων.

4 1 Θεόφραστος ἐν τῷ παροιμιῶν· ἄλλοι δέ φασιν ἀπόφθεγμα εἶναι Σόλωνος. Ἀρχιλόχου πατρίς : ἐπὶ τῶν λοιδορούντων· τοιοῦτος γὰρ Ἀρχίλοχος.

4 3 Ἄρχων ἄκουε καὶ δικαίως κἀδίκως : ἐκ τῶν τοῦ Σόλωνος ἐλεγείων παραινετική. Ἀργούντων χορός : ἐπὶ τῶν κακὰ ποιούντων.

4 5 Ἀρίγνωτος σμάραγδος ἐν μὲν τῷ φάει σκοτεινός : πρὸς τοὺς ἀποκρύπτοντας ἑαυτοὺς, ὅπου οὐ χρή. Ἀργαλέον φρονέοντα πα ρ ᾽ ἄφροσι πόλ λ ᾽ ἀγορεύειν : εἰς ἀπαιδεύτους ἂν ῥηθείη.

4 7 Ἄρεος νεοττόν : ἐπὶ τῶν φιλοπολέμων. Ἀρότρῳ ἀκοντίζεις : ἐπὶ τῶν ἀδιασκέπτως τι ποιούντων καὶ τὸ κατόπιν μὴ προορωμένων.

4 9t Τὸ α μετὰ τοῦ ς. Ἀσκὸν δαίρεις : ἐπὶ τῶν ἀνοήτως τι ποιούντων.

4 10 Ἀσκῷ μορμύττεσθαι : ἐπὶ τῶν μάτην φοβούντων. Ἀσκὸν βαπτίζεις πνεύματος πλήρη : ἐπὶ τῶν ἀδυνάτων.

4 12 Ἄστροις σημαίνεσθαι : ἐπὶ τῶν ἐκ μακροῦ τι ὑπονοούντων. Ἀστραπὴ ἐκ πυελίου : ἐπὶ τῶν ἀδυνάτων καὶ εὐτελῶν· ἡ γὰρ ἐξ ὑδάτων ἢ ἀγγείων ἀστραπὴ ἐν τοῖς τοίχοις γινομένη οὐδὲν δύναται.

4 14 Ἀσπίδος δῆγμα : ἐπὶ τῶν ἀνιάτων ⁝ Ἀσπίδος ἀκούω μόνον δῆγμα ἀνίατον εἶναι καὶ ἐπικουρίας κρεῖττον. καὶ μισεῖν ἄξιον τὸ ζῷον τῆς εὐκληρίας τῆς εἰς τὸ κακόν· ἀλλὰ καὶ τούτου θηρίον μιαρώτερον γυνὴ φαρμακίς, οἵαν ἀκούομεν καὶ τὴν Μήδειαν καὶ τὴν Κίρκην· τὰ μὲν γὰρ τῶν ἀσπίδων φάρμακα καὶ δήγματος ἔργα ἐστί, τὰ δὲ ἐκείνων ἀναιρεῖν καὶ ἐκ μόνης τῆς ἁφῆς φασίν ⁝ Ἔνθεν τοι καὶ οἱ βασιλεῖς τῶν Αἰγυπτίων ἐπὶ τῶν διαδημάτων ἐφόρουν πεποικιλμένας ἀσπίδας, τῆς ἀρχῆς αἰνιττόμενοι τὸ ἀκίνητον. οἱ δηχθέντες δὲ ὑπὸ ἀσπίδος οὐ περαιτέρω βιοῦσι τετάρτης ὥρας· πνιγμὸς δὲ αὐτοὺς καὶ σπασμὸς διώκει καὶ λυγμός. τῆς δ᾽ ἀσπίδος φασὶ τὸν ἰχνεύμονα τὰ ᾠὰ ἀφανίζειν, οἱονεὶ τοῖς ἑαυτῶν παισὶν ὑπεξαίροντα τοὺς μέλλοντας ἀντιπάλους ⁝ Ὁ δὲ ἰχνεύμων ὁ αὐτὸς ἄρα καὶ ἄῤῥην καὶ θῆλυς ἦν, μετειληχὼς καὶ τῆσδε τῆς φύσεως καὶ τῆσδε, καὶ σπείρειν τε καὶ τίκτειν τοῖς αὐτοῖς ἡ φύσις ἔδωκεν. ἀποκρίνονται δὲ εἰς τὸ ἀτιμότερον γένος οἱ ἡττηθέντες μετὰ τὴν μάχην· οἱ γὰρ κρατήσαντες ἀναβαίνουσι τοὺς ἡττημένους καὶ εἰς αὐτοὺς σπείρουσιν. οἱ δὲ ἆθλον τῆς ἥττης φέρονται, ὠδῖνάς τε ὑπομεῖναι, καὶ τέως ἀντὶ πατέρων γενέσθαι μητέρας· τοῖς γε μὴν πολεμιωτάτοις ἀνθρώπῳ ζῴοις, ἀσπίδι καὶ κροκοδείλῳ, ἔχθιστον ὁ ἰχνεύμων ⁝ Λίβυσαν δὲ ἄρα ἀσπίδα καὶ ἀποφαίνειν τυφλοὺς τῷ φυσήματι ἀκούω. Τὸ α μετὰ τοῦ τ. [20]

4 15

Ἀτρέως ὄμματα : οἷον ἄτρεπτοι καὶ σκληροί. εἴρηται δὲ ἀπὸ τῆς Ἀτρέως παρανομίας· ὃς ὑπονοήσας ἐκ διαβολῆς τὸν ἀδελφὸν Θυέστην μοιχεύειν τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέστου συγκόψας δειπνοῦντι παρέθηκε τῷ πατρί, αἴσθησιν παρασχὼν τῆς συμφορᾶς ἐκ τοῦ τελευταῖα τὰ ἄκρα παραθεῖναι. Ἄτεκτος ἄνθρωπος παρηγορήμασιν : ὁ μὴ βρεχόμενος μηδὲ ἱέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡς ἡ πέτρα ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος διαβρέχεσθαι.

4 17 Ἀττικὸν βλέπος : ἐπὶ τῶν κοσμίων καὶ σοφῶν· οἱ γὰρ Ἀττικοὶ ὑπέρσοφον καὶ ἔννουν εἶχον τὸ βλέμμα. Ἀτενὲς ὁρᾷς : ἐπὶ τῶν φιληδούντων.

4 18 ὥσπερ· Αἲξ εἰς θάλασσα ν . Ἄτρωτος ὑπάρχεις ὡς ὁ Καινεύς : λέγουσι γὰρ ὅτι οὗτος ἄτρωτος ἦν· ὃς δ' ὑπολαμβάνει ἄτρωτον ἀπὸ σιδήρου ἄνθρωπον, εὐήθης ἐστίν· ἡ δὲ ἀλήθεια ἔχει οὕτως· Καινεὺς ἦν Θετταλὸς τῷ γένει, ἀγαθὸς τὰ πολεμικὰ καὶ ἐπιστήμων τοῦ μάχεσθαι· γενόμενος δὲ ἐν πολλαῖς μάχαις οὐδέποτε ἐτρώθη, οὔτε Λαπίθαις συμμαχῶν πρὸς τῶν Κενταύρων ἀπέθανεν, ἀλλὰ συλλαβόντες αὐτὸν μόνον κατέχωσαν, καὶ οὕτως ἐτελεύτησεν.

4 19 ἔλεγον οὖν οἱ Λαπίθαι ἀνελόμενοι τὸν νεκρὸν αὐτοῦ καὶ εὑρόντες μὴ τετρωμένον τὸ σῶμα, Καινεὺς τόν γε ἄλλον βίον ἄτρωτος ἦν καὶ ἀπέθανεν ἄτρωτος. Ἀττικὸς εἰς λιμένα : ἐπὶ τῶν μετὰ σπουδῆς ὃ ἐπίστανται ποιούντων· οἱ γὰρ Ἀττικοὶ μέλλοντες ἀπαίρειν πρὸς μάχην καὶ τοῦ λιμένος ἐξιόντες, μετὰ σφοδρότητος ἤλαυνον πρὸς ἐπίδειξιν τῶν οἰκείων ὁρώντων.

4 21 Ἀττικοὶ τὰ Ἐλευσίνια : ἐπὶ τῶν τὰ ἀπόῤῥητα μυουμένων· οἱ γὰρ Ἀττικοὶ ἐν Ἐλευσῖνι ἐπετέλουν τὰ τῆς Δήμητρος μυστήρια. Ἀτὰρ ἡ πάγη ἔοικε λήψεσθαι πάγην : ὡς μοιχὸς ἐπὶ μοιχῷ.

4 23 Ἄτλας τὸν οὐρανόν : ἐπὶ τῶν μεγάλοις τισὶ πράγμασιν ἐπιβαλλομένων καὶ κακοῖς περιπιπτόντων. Ἀτρέμας βοῦς : ἐπὶ τῶν βραδέως συντελούντων.

4 25 Ἀττικὴ πίστις : ἐπὶ τῶν πιθανῶν καὶ πιστῶν καὶ εὐόρκων· ἱδρύσαντο γὰρ οἱ Ἀττικοὶ ἱερὸν Πίστεως. Ἀττικὸς μάρτυρ : ἐπὶ τοῦ πιστοτάτου καὶ ἀληθεστάτου.

4 27 Ἀττικὸς ὑπέχει τὴν χεῖρα ἀποθνήσκων : ἐπὶ τῶν φιλαργύρων· φιλοκερδεῖς γὰρ οἱ Ἀθηναῖοι. Ἀτὰρ ἐκ καθαρῶν ἀχύρων τετρύγηκας σῖτον : ἐπὶ τῶν μηδενὸς ἀγαθοῦ μεταλαγχανόντων.

4 29t Τὸ α μετὰ τοῦ υ. Αὐτὴ νῦν ἡ σοφία ζῇ : ἐπί τινος εὐδαιμονοῦντος.

4 30 Αὕτη μὲν ἡ μύρινθος οὐδὲν ἔσπακεν : ἀπὸ τῶν ἁλιευτῶν εἴρηται τῶν ἀποτυγχανόντων. Αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας : οἷον ἐπὶ αὐτὰς ἀφῖξαι τὰς θύρας.

4 32 Αὐλὸν σάλπιγγι συγκρίνεις : ἐπὶ τῶν τὰ ἐλάττω τοῖς μείζοσι συγκρινόντων. Αὐλητοῦ βίον ζῇς : ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων.

4 34 Αὐτὸ τοῦτο , ἄχθος νεώς : ἐπὶ τῶν εἰκῇ κειμένων καὶ μηδὲν ἐνεργούντων, μήτε αὐτῶν ἐπὶ σωτηρίᾳ μήτε ἄλλων. Αὐτὸς εὗρε τοῦ κακοῦ τὴν πιτύαν : ἤγουν τὴν πηγήν· ἐπὶ τῶν ἑαυτοῖς τὰ κακὰ ἐπισπωμένων.

4 36 Αὖθις Πυθῶδε : ἐπὶ τῶν τὰ αὐτὰ πολλάκις πραττόντων· εἴρηται δὲ ἐπὶ τῶν ἐπιπυνθανομένων, ἢ εἰς τὰ πρῶτα παλινδρομούντων. Αὐτομάτως ὁ θεὸς ἀνίησι τἀγαθά : ἐπὶ τῶν ἀπραγμόνως εὐδαιμονούντων.

4 38 Αὐτὸς αὑτὸν αὐλεῖ : ἐπὶ τῶν ἑαυτοὺς δεικνυόντων τοῖς πράγμασιν, ὁποῖοι εἰσίν. Αὐτὸς ἔφα : ἐπὶ τῶν ἀναφερόντων τι ἐπί τινα τῶν ἀξιοπίστων.

4 40 Αὐτῷ κανῷ : ἐπὶ τῶν ἄρτι τι λυμαινομένων. τὰ γὰρ δεῖπνα ἐπὶ τῷ κανῷ κομιζόμενα ἥρπαζόν τινες αὐτῷ κανῷ. Αὐτοῦ Ῥόδος , αὐτοῦ πήγημα : ἐπὶ τῶν ἀλαζονευομένων ἐπί τινι.

4 41 ἀπὸ Ῥοδίου τινὸς ἀλαζονευομένου ἐπὶ τῷ ἅλεσθαι. Αὐτόθεν κατάβαλε : ἀντὶ τοῦ, κατάθου ἢ πέπαυσο.

4 42

ἐπὶ τῶν ἡττωμένων καὶ καταβαλλόντων τὰ ὀφειλόμενα. Αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσιν : ἐπὶ τῶν ἀμοιβῆς τυγχανόντων ὧν πράττουσιν.

4 44 Αὐτοδίκη : καί, αὐτοδοκεῖν : ἑαυτοῖς τὰ δίκαια ὁρίζειν. Αὐτοὶ χελώνας ἐσθίετε : ἐπὶ τῶν λιμβῶν.

4 45 ἁλιεῖς γὰρ ἡλίευσαν χελώνην μεγάλην, καὶ ἀνασπάσαντες αὐτὴν ἐμέριζον τὴν παροῦσαν· τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ τὴν ἑστίασιν, ἐκάλουν· ὁ δὲ τὸ προκείμενον εἶπεν. Αὐτὰ δ ι ’ αὐτῶν : ἐπὶ τῶν ἀεὶ τὰ αὐτὰ λεγόντων.

4 47 Αὐτῷ κρητῆρι γίνη κακά : ἐπὶ τῶν οἷς καθ’ ἑτέρων βουλεύονται, τούτοις περιπιπτόντων. Αὐτοβοᾷς ὅμοιος ὢν τῷδε : Ἀττικῶς πάνυ συμπέπλεκται, οἷον, αὐτὸς ἑαυτῷ μαρτυρεῖς κεκραγὼς, ὅμοιος ὢν τῷδε.

4 49 Αὐτὸ δείξει : ἐλλείπει τὸ ἔργον. Τὸ α μετὰ φ.

4 50 Ἀφροδίσιον : ἔργον Ἀφροδίτης. λαμβάνεται δὲ ἐπὶ τῶν λάγνων, τῶν ἐρωτικῶς παρὰ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων. Ἄφρων ὃ μὲν ἀπολέσει, ἔχει· ὃ δ’ εἰς τὸ δέον ἀναλώσει, οὐκ ἔχει.

4 52 Ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει : Ὑπερίδης ἐν τῷ περὶ ταρίχου πρώτῳ. ἐπὶ τῶν παριόντων τὰ σπουδαιότερα καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέραι δέ εἰσι ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας. Ἀ φ ’ ἵππων ἐ π ’ ὄνον : ἐπὶ τῶν ἀπὸ σεμνῶν εἰς τὰ ἄσεμνα ἡκόντων· οἷον, ἀπὸ γραμματικῆς ἐπὶ ἡνιοχευτικὴν ἢ ἄλλο τι τῶν οὐ σεμνῶν.

4 54 Ἄφθονοι Μουσῶν θύραι : ἐπὶ τῶν ἥκιστα φθονερῶς διακειμένων ἐν λόγοις. Ἀ φ ’ ἱερᾶς : ἀπὸ τῶν πεττευόντων παρῆκται· ἐν γὰρ τῇ πεττείᾳ ἐστί τις κύκλος καλούμενος ἱερὸς, ὃν κινοῦσιν ὕστατον.

4 56 Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος : ἐπὶ γὰρ τοῖς ἐρωτικοῖς ἐπιορκούμενοι οἱ θεοὶ οὐκ ὀργίζονται. Ἀφύα ἐς πῦρ : ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων· παρόσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει.

4 58 Ἀφροδίτη καὶ Διόνυσος με τ ’ ἀλλήλων εἰσί : παρόσον ἡ μία δύναμις τὴν ἑτέραν κινεῖ. Ἀφροδίτῃ ὗν τέθυκεν : ἐπὶ τῶν ἀχαρίστων· τῇ γὰρ Ἀφροδίτῃ ὗς οὐ θύεται διὰ τὸν Ἄδωνιν.

4 60 Ἀφύων τιμή : ἐπὶ τῶν ἐν μικροῖς παρ’ ἄλλων τιμωμένων. Ἀ φ ’ ἑστίας : ἐπὶ τῶν ἐξ ἀρχῆς τι πραττόντων.

4 61 Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα· Ὁ ἀ φ ’ ἑστίας μυούμενος Ἀθηναῖος ἦν πάντω ς . Ἀ φ ’ ὑψηλοῦ μου καταγελᾷς : ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων, ὡσανεί, πάνυ μου καταφρονεῖς.

4 63t Τὸ α μετὰ τοῦ χ. Ἀχθοφόρος Αἰγύπτιος : ἐπὶ τῶν βαρέα βασταζόντων· πολλαχοῦ γὰρ οἱ ποιηταὶ ἀχθοφοροῦντας τοὺς Αἰγυπτίους φασίν.

4 64 Ἄχθομαι αὐτοῦ τῷ ῥύπῳ : ἀντὶ τοῦ, τῇ ἀνελευθερίᾳ καὶ μικρολογίᾳ· τὸν γὰρ ῥύπον ἐπὶ τῶν ἀνελευθέρων ἐτίθεσαν. οὕτω γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους. Ἀχρειόγελως ἄνθρωπος : ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

4 66 Ἄχειρ νιφθῆναι βούλεται : ἐπὶ τῶν ἀδυνάτων. Ἄχρι κόρου : ὅτι ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐστι · καί· οὗτος ἄχρι κόρου φενακίζε ι .

4 68 Ἀχνυμένη σκυτάλη : ἐπὶ τῶν λυπρὰς ἀγγελίας ἀγγελλόντων. ἔθος γὰρ ἐπὶ ξύλου εἱλίσσειν τὸ γραφὲν ἐν σκυτάλῃ καὶ πέμπειν, οἱονεὶ ἀπειλοῦντες οἱ παλαιοὶ οἷς ἐβούλοντο πέμπειν· οἱ δὲ δεχόμενοι ἴσῳ σκυτάλῃ ἀνταπειλοῦντες ἀνεγίνωσκον τὸ γραμματεῖον. Ἀρχὴ τοῦ β στοιχείου.
[5]

4 69t Τὸ β μετὰ τοῦ α. Βαθεῖαν αὔλακα : ἐπὶ τῶν βαθείας φρένας καὶ κεκρυμμένας ἐχόντων.

4 70

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βάκηλος εἶ : ἀντὶ τοῦ γυναικώδης καὶ ἄνανδρος· ὁ γὰρ Βάκηλος μέγας μὲν ἦν, ἀνόητος δὲ καὶ γυναικώδης. Βάκχης τρόπον : ἐπὶ τῶν ἀεὶ στυγνῶν καὶ σιωπηλῶν· παρόσον αἱ Βάκχαι σιγῶσι.

4 72 Βάλ λ ʼ ἐς Μακαρίαν : οἷον εἰς ᾄδου. Μακαρία γὰρ ἡ Ἡρακλέους ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις ἑαυτὴν ἀπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. Βάμμα Κυζικηνόν : τὴν ἀκάθαρτον ἀσχημοσύνην οἱ Ἀττικοὶ λέγουσιν.

4 74 Βάμμα Σαρδινιακόν : ἀντὶ τοῦ, μή σε ἐρυθρὸν ποιήσω· νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύτατοι. βούλεται οὖν δηλοῦν, ἵνα μή σε πληγὰς ἐντρίψω. Βατακάρας : ἐπὶ τῶν παχέων καὶ ἀδυνάτων.

4 75 κατὰ συστολὴν δὲ ἀναγνωστέον. Βάτου σίλφιον : ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάτων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον, καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν.

4 76 οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου. Βάτραχος Σερίφιος : ἐπὶ τῶν ἀφώνων· οἱ γὰρ ἐν τῇ Σερίφῳ βάτραχοι οὐ βοῶσιν ⋮ Αἴτιον δὲ ἡ τοῦ ὕδατος ἄγαν ψυχρότης· ὅθεν εἴ τις ἐφ' ἕτερα μετάγοι τὸ ζῷον, λάλον εὐθὺς ἐνεποίησε καὶ πρὸς τὴν οἰκείαν μετεβίβασε φύσιν. [5]

4 77 Κυρηναῖον δὲ βάτραχον τὸ τῶν ὑδάτων πικρὸν ἄλαλον ἀπεργάζεται. Βατράχῳ οἰνοχοεῖς : ἐπὶ τῶν ταῦτα παρεχόντων, ἅπερ οὐ χρῄζουσιν οἱ λαμβάνοντες ⋮ Ὁ βάτραχος τὸν ὕδρον μισεῖ, καὶ δέδοικεν ἰσχυρῶς, οὐκοῦν τῇ βοῇ τῇ πολλῇ πειρᾶται ἀντεκπλήττειν αὐτὸν καὶ ἀντιφοβεῖν.

4 79 Βαβαὶ Μύξος : ἐπὶ τῶν μεγαλαυχούντων· οὗτος γὰρ ἱερεὺς τῆς Ἀρτέμιδος ὢν μεγάλαυχος ἦν. Βατταρίζειν : ἀντὶ τοῦ τραυλίζειν.

4 81 Βασίλειος ὀφθαλμός : τὸν ἐπί τινα ἀρχὴν πεμπόμενον οὕτως ἐκάλουν. Βάσανος λίθος : ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις· παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει.

4 83 Βάλλων φεύξεσθαι οἴει : πρὸς τοὺς κακόν τι ποιοῦντας καὶ οἰομένους φυγεῖν. Βάλ λ ʼ ἐς ὕδωρ : ἀντὶ τοῦ καταπόντισον.

4 84 Ἐπὶ τῶν ὀλέθρου ἀξίων. Βάλ λ ʼ εἰς ἔχοντα τὴν ἐπιστήμην : ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.

4 86 Βατράχῳ ὕδωρ : καί· στέαρ γαλῇ : ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες. Βάλλειν μήλοις : ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων.

4 87 παρήχθη δὲ ἀπὸ τῶν πεμφθέντων ἐπ' Ἀταλάντην μήλων· προύκειτο γὰρ τῷ νικῶντι δρόμῳ τὴν Ἀταλάντην ἔπαθλον ὁ ταύτης γάμος. ὁ γοῦν Ἱππομένης εἰς ἅμιλλαν καταστάς, βουλόμενος αὐτὴν νικῆσαι, χρυσᾶ μῆλα ἔῤῥιψε· καὶ περὶ τὴν τούτων συλλογὴν ἐκείνης ἀσχολουμένης, οὗτος ταύτην ὑπερέβαλε. Τὸ β μετὰ τοῦ δ. [5]

4 88 Βδέλυγμα ἐρημώσεως : ἤγουν εἴδωλον καὶ ἐκτύπωμα καὶ σημεῖον τῆς ἐρημώσεως. ἦσαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῶν νόμων, εἰς τοῦτο εἰσκομιζόμεναι. Ὃ δὴ Πιλάτος πεποίηκε. Λέγεται δὲ ἐπὶ τῶν ἠβδελυγμένων. Τὸ β μετὰ τοῦ ε.

4 89 Βεκκεσέληνε : ἀρχαῖε καὶ ἀνόητε· σύγκειται ἡ λέξις ἀπὸ τοῦ βέκκος, ὁ ἄρτος κατὰ διάλεκτον τῶν Λυδῶν, καὶ τοῦ σελήνη· ἀμφότερα γὰρ ἀρχαῖα. Τὸ β μετὰ τοῦ η.

4 90 Βησᾶς ἕστηκεν : ἐπὶ τῶν ὑπομώρων. οὗτος γὰρ ἕστηκεν ἀχανὴς καὶ παταγώδης καὶ ὑπόμωρος. Βὴξ ἀντὶ πορδῆς : ἐπὶ τῶν περδόντων καὶ προσποιουμένων βήττειν ἢ γελᾷν· ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν ἀπορίᾳ τι πράττειν προσποιουμένων.

4 92t Τὸ β μετὰ τοῦ ι. Βίαντος Πριηνέως δίκη : οὗτος εἷς τῶν ἑπτὰ σοφῶν ἦν.

4 92

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγεται δὲ εἰς τὰς δίκας δεινὸς γεγονέναι. Βίον μεμαγμένον : ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ.

4 94 Βίον ἀκανθώδη : τὸν τραχὺν καὶ σκληρόν. Βιβλίον τοὐμὸν μέθυ : πρὸς τοὺς διαφθείροντάς τινα ἔργα· ἢ ἐπὶ τῶν φιλολόγων.

4 96 Βίοι ἀνθρώπων καὶ φυτῶν σπέρματα συνεξομοιοῦνται ταῖς χώραις. Βία πενήτων , πλουσίων παράκλησις : παρόσον οἱ μὲν πένητες ἀναγκάζονται, οἱ δὲ πλούσιοι θρύπτονται καὶ θωπεύονται.

4 98t Τὸ β μετὰ τοῦ λ. Βλέπειν γὰρ ἄντικρυς δόξεις μ ’ Ἄρην : ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν.

4 99 Βλακὸς ἀχρηστότερος : εἴρηται ἀπὸ ἰχθύος τινός, ὁμοίου σιλούρῳ, ἀχρήστου δὲ οὕτως, ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι. οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου Βλακείας, οὗ μέμνηται καὶ Ἀριστοτέλης. καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον, ὃ οἱ ἀστρολόγοι τελοῦσι, διὰ τὸ τοὺς μόρους εἰσιέναι πρὸς αὐτούς. Τὸ β μετὰ τοῦ ο.

4 100 Βοῦς Κύπριος εἶ : ἤτοι κοπροφάγος· τοιοῦτοι γὰρ οἱ ἐκεῖσε βόες. Βοῦς ὁ Μολοττῶν : ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγματα· οἱ γὰρ Μολοττοὶ τοὺς βόας ἐν ταῖς ἑορταῖς εἰς πολλὰ διέτεμον.

5 2 Βοῦς ἐπέβη : ἐπὶ τῶν ἐξαίφνης σιωπώντων. τὸ γὰρ ἀργύριον βοῦν εἶχε τῶν Ἀθηναίων· οἱ οὖν δωροδοκούμενοι ἐσιώπων. Βουδόρῳ νόμῳ : ἐπὶ τῶν ἀξίων δαίρεσθαι ὡς οἱ βόες.

5 4 Βοιότιος νόμος : ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων. Βότρυς πρὸς βότρυν πεπαίνεται : ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.

5 6 Βοῦς ὑπὸ ζυγόν : ἐπὶ τῶν μοχθούντων ἀεί. Βοῦν ἐπὶ γλώττης : ὅ ἐστι νόμισμα.

5 7 ἁρμόζει δὲ ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα ὑπὲρ τοῦ μὴ κατηγορῆσαι τινά, ἀλλὰ σιωπῆσαι. Βοῦς ἕβδομος : πέμματα, κέρατα ἔχων κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης.

5 8 ἐκάλουν δὲ αὐτὸ βοῦν προστιθέντες καὶ τὸν ἕβδομον, ὅτι ἐπὶ ἓξ τῆς σελήνης ἐπεθύετο οὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ. τάττεται δὲ ἐπὶ τῶν ἄγαν ἀναισθήτων. Οἱ δέ φασιν ἕβδομον βοῦν, ὅτι οἱ πένητες ἔθυον ἔμψυχα ἕξ· πρόβατον, ὗν, αἶγα, ὄρνιν πετεινὸν, χῆνα, καὶ ἕβδομον βοῦν ⁝ Ἡ βοῦ ς , ἔνθα τὸν μόσχον ἀφῃρέθη, ἐνταῦθα ἐλθοῦσα, ὀδύρεται μυκηθμῷ συντρόφῳ τὸ πάθος. καὶ βόες μέντοι ὑπὸ ζυγὸν ἰέναι θέλοντες, οἱ μὲν μειδιῶσιν, οἱ δὲ ἐπὶ πόδα ἀναχωροῦσιν. ἵππος δὲ ἄρα καὶ ὅταν ἀκούσῃ ψαλλίων κρότον καὶ χαλινοῦ κτύπον καὶ προστερνίδια θεάσηται, φριμάττεται ἐνταῦθα καὶ τὰς ὁπλὰς σκιρτῶν ἐπικροτεῖ καὶ ἐνθουσιᾷ ⁝ Βοῦς δ ’ ἢν καταπίῃ βούπρηστιν· ἔστι δὲ ζῷον· πίμπραται, καὶ ῥηγνύμενος ἀπόλλυται οὐ κατὰ μικρόν. Βοῦς εἰς ἀμητόν : ἐπὶ τῶν ἐπ’ ὠφελείᾳ καμνόντων ⁝ Πτολεμαίῳ τῷ δευτέρῳ, φασίν, ἐξ Ἰνδῶν κέρας ἐκομίσθη καὶ τρεῖς ἀμφορέας ἐχώρησεν.

5 9 οὗτος ἄρα βοῦς ἦν, ὡς ἐκπεφυκέναι οἱ τηλικοῦτον κέρας. Βοῦς ἐν αὐλίῳ γέρων : ἐπὶ τῶν δι’ ἀσθένειαν ἡσυχαζόντων.

5 11 Βοιώτιος νοῦς : ἐπὶ τῶν ἀπαιδεύτων· εἰς τοῦτο γὰρ ἐσκώπτοντο Βοιωτοί. Βοιώτια αἰνίγματα : ἐπὶ τῶν ἀσυνέτων.

5 12 Βοιωτὴ γὰρ ἡ Σφίγξ. Βοῶν ὦτα ἔχετε : ἐπὶ τῶν μὴ συνιέντων.

5 13 Ἀνταγόρας γὰρ ἀναγινώσκων παρὰ Βοιωτοῖς τὸ τῆς Θηβαΐδος γράμμα, ἐπεὶ οὐδεὶς ἐπεσημαίνετο κλείσας τὸ βιβλίον, εἰκότως, ἔφη, καλεῖσθε Βοιωτοί· βοῶν γὰρ ὦτα ἔχετε. Βορβόρῳ ὕδωρ λαμπρὸν οὔπο θ ’ εὑρήσεις : ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.

5 15 Βοῦς ἐν πόλει : ἐπὶ τῶν θαυμαζομένων. Λυσίας γὰρ ἐν ἀκροπόλει βοῦν ἔθηκεν. Τὸ β μετὰ τοῦ ρ.

5 16

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βρασίδας μὲν ἀνὴρ ἀγαθός · ἁ δὲ Λακεδαίμων πολλὼς ἔχει τήνου κάῤῥονας : ἐπὶ τῶν ἑαυτοὺς οἰομένους κρείσσους εἶναι τῶν ἄλλων. Τὸ β μετὰ τοῦ ω.

5 17 Βῶμαξ εἶ καὶ βωμολόχος : οὗτος ἀπὸ τῶν βωμῶν, πρὶν καρπωθῆναι, αἴρων. τάσσεται δὲ ἐπὶ τῶν μαλακιζομένων. Βώλοις ἄρουραν : ἐπὶ τῶν τοῖς μικροῖς χαριζομένων τοὺς μεγάλους.

5 19t Ἀρχὴ τοῦ γ στοιχείου. Τὸ γ μετὰ τοῦ α. Γάλα ὀρνίθων : ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων· τὸν γὰρ Σάμον οἱ θέλοντες ἐπαινεῖν καὶ τὸν Ἄμασιν τοῦτο ἔλεγον.

5 19 ἄλλοι δὲ ἐπὶ τῶν σπανίων. Γαλῆ Ταρτησία : ὡς μεγάλων ἐκεῖ γινομένων.

5 21 Γαλῇ χιτών : αὕτη ἐπὶ τῶν ἀδίκων τάσσεται καὶ μηδὲν ἀνιέντων· ὁμοία ἐστὶ τῇ· Οὐ πρέπει γαλῇ κροκωτός ⋮ Φασ ί , τὴν γαλῆν καὶ τὸν αἴλουρον πάντα ὅσα δυσώδη ἐστὶ μισεῖν· ταύτῃ τοι καὶ τὸ σφέτερον περίσσευμα ἀφίεναι, πρότερον βόθρον ὀρύξαντας, ἵνα ἀφανίσωσιν αὐτὸ, τῆς γῆς ἐπιβαλόντες. ἔστι δὲ ὁ μὲν ἄῤῥην λαγνίστατος, ὁ δὲ θῆλος φιλότεκνος· φεύγει δὲ τὴν πρὸς τὸν ἄῤῥενα ὁμιλίαν· ἀφίησι γὰρ τὸν θορὸν θερμότατόν τε καὶ προσεοικότα πυρί, καὶ καίει τῆς θηλείας τὸ ἄρθρον. εἰδὼς οὖν ὁ ἄῤῥην τοῦτο τὰ κοινὰ βρέφη διαχρῆται· ἡ δὲ παίδων ἑτέρων πόθῳ ἑαυτὴν παρέχει συνελθεῖν. Γαστέρα μοι προφέρει ς , κάλλιστον ὄνειδος ἁπάντω ν , Ἣ πλήρης μὲν ἐλαφροτέρη , κενεὴ δὲ βαρεῖα : ἐπὶ τῶν γαστριμάργων. [10]

5 23 Γασύπους κρεῶν ἐπιθυμεῖ : ἐπὶ τῶν ἐπιθυμούντων τῶν ἀλλοτρίων. Γάμος Αἰγύπτου : ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων ⋮ Αἴγυπτος καὶ Δαναὸς ἦσαν ἀδελφοὶ ἀπ' Ἰοῦς τῆς Ἰνάχου θυγατρὸς καὶ Βήλου.

5 24 τούτων ὁ μὲν Αἴγυπτος εἶπε παῖδας πεντήκοντα ἄῤῥενας· ὁ δὲ Δαναὸς πεντήκοντα θυγατέρας, ὃς φθονῶν τῷ ἀδελφῷ Αἰγύπτῳ διὰ τὴν τῶν ἀῤῥένων παίδων κτῆσιν καὶ φοβηθεὶς ὅπως μὴ ὑπ' αὐτοῦ ἐκβληθῇ τῆς βασιλείας ἀνδρωθέντων τῶν υἱῶν αὐτοῦ, ἐδίωξεν αὐτὸν εἰς Αἴγυπτον ἅμα τοῖς παισίν, ὅθεν καὶ ἀπ' αὐτοῦ ἡ χώρα Αἴγυπτος ἐκλήθη. Χρόνου δέ τινος γινομένου καὶ τῶν παίδων ἀνδρωθέντων θαῤῥῶν τῇ τούτων δυνάμει παρεγένετο εἰς τὸ Ἄργος. Ὁ δὲ Δαναὸς φοβούμενος αὐτὸν καὶ πρόνοιαν ποιούμενος τῆς βασιλείας, ἐπιβουλὴν κατὰ τῶν Αἰγύπτου υἱῶν ταύτην ἐσκέψατο· συνέθετο γὰρ τῷ Αἰγύπτῳ συνάψαι πρὸς γάμον τὰς ἑαυτοῦ θυγατέρας τοῖς υἱοῖς αὐτοῦ· ἑτοίμως δ' ἐπαγγειλάμενος τῷ Αἰγύπτῳ, συνεβούλευσε ταῖς θυγατράσιν ὁ Δαναὸς, ὥστε ἀνελεῖν νύκτωρ τοὺς ἑαυτῶν ἄνδρας πρὸ τῆς μίξεως τῆς πρὸς αὐτοὺς, θάνατον ἀπειλήσας ταῖς μὴ τοῦτο ποιησάσαις. Αἱ μὲν οὖν πᾶσαι, ἔχουσαι τὰ ἐκ τοῦ πατρὸς προστάγματα, ἀνεῖλον τοὺς ἄνδρας, μία δὲ μόνη ἐφείσατο τοῦ Λυγγέως, ἀπὸ τῆς μίξεως διάθεσιν ἔχουσα πρὸς αὐτόν· οὗτος δὲ σωθεὶς ἐξεδίκησε τοὺς αὐτοῦ ἀδελφούς. ἐφόνευσε γὰρ τὰς θυγατέρας τοῦ Δαναοῦ καὶ αὐτὸν καὶ τῆς βασιλείας ἐκράτησε τοῦ Ἄργους ἅμα τῇ Κλυταιμνήστρᾳ. καὶ γὰρ ἐκ τούτων Ἄβας, ἐξ οὗ καὶ Προῖτος καὶ Ἀκρίσιος, ἐξ οὗ καὶ Δανάη, ἐξ ἧς Περσεύς. Γαλῇ χιτώνιον : ἐπὶ τῶν τὰ ἑαυτῶν περιβλήματα ἐσθιόντων. [25]

5 26 Γαλῆν ἔχεις : ἐπὶ τῶν ἀποτρεπτικῶν· παρόσον οἱ γαλῆν ἔχοντες οὐκ εὐτυχοῦσιν. Τὸ γ μετὰ τοῦ ε.

5 27 Γελοιότερος Μελιτίδου : ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβοημένων. Μελιτίδης γὰρ ἦν ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ. Γέλως συγκρούσιος : παρόσον τινὲς γελῶντες τὰς χεῖρας συγκρούουσιν ἢ τοὺς πόδας.

5 28 τάττεται δὲ ἐπὶ τῶν ἀτάκτως καὶ ἀκόσμως γελώντων. Γέλως Μεγαρικός : ἐπὶ τῶν ἀώρως θρυπτομένων· ἤκμαζε γὰρ ἡ Μεγαρικὴ κωμῳδία ἐπὶ χρόνον.

5 30 Γεννητὸς γεγονὼς τήρει τὴν τάξιν : λέγονται δὲ γεννῆται οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλὰ οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φατρίας· οὗτοι δέ εἰσι καθάπερ οἱ δημόται καὶ φράτορες νόμῳ τινὶ ἔχοντες κοινωνίαν· τὸ δὲ γένος ἔχει ἄνδρας τριάκοντα, αἱ δὲ φατρίαι ἐκαλοῦντο τριτταί, ὅτι ἐκ τεσσάρων φυλῶν οὐσῶν, εἰς τρία ἑκάστην

διεῖλον μέρη· τὰς μὲν φυλὰς τέσσαρας ποιήσαντες, ἀπομιμησάμενοι τὰς τοῦ ἐνιαυτοῦ ὥρας, τὰς δὲ φατρίας καὶ τριττὰς δώδεκα, καθάπερ οἱ μῆνες· τὰ δὲ γένη τριάκοντα ἑκάστῃ φατρίᾳ, καθάπερ αἱ ἡμέραι τξε. Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται : ἐπὶ τῶν διὰ χρόνου πλῆθος οὐχ ἁμαρτανόντων.

5 32 Γεράδρυον μεταφυτεύειν : ἐπὶ τοῦ μὴ δεῖν τοὺς γέροντας ἐπὶ τὰ τῶν ἀκμαζόντων ἔργα προπέμπειν. γεράδρυον γὰρ τὸ γηράσκον φυτόν· δρῦς γὰρ πᾶν φυτὸν γενικῷ ὀνόματι καλεῖται. Γενναῖος εἶ ἐκ βαλαντίου : ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

5 34 Γέροντος πόστης δρυϊνὸς πάτταλος : δημώδης. Γέρανοι , λίθου καταπεπτωκότος : ἐπὶ τῶν προνοητικῶς τι ποιούντων· αἱ γὰρ γέρανοι πετόμεναι λίθους φέρουσιν ⋮ Αἱ γέρανοι γίνονται μὲν ἐν Θράκῃ· ἡ δὲ χειμεριώτατον χωρίον ἐστὶ καὶ κρυμωδέστατον· καὶ θέρους μὲν κατὰ χώραν μένουσι, φθινοπώρου δὲ ἤδη μεσοῦντος εἰς Αἴγυπτον καὶ Αἰθιοπίαν ἀπαίρουσιν.

5 35 ὥσπερ οὖν γῆς περίοδον εἰδυῖαι καὶ φύσεις ἀέρων καὶ ὡρῶν διαφοράς, καὶ χειμῶνα ἠρινὸν διαγαγοῦσαι, πάλιν ἔαρος ὑποστρέφουσιν ὀπίσω· ποιοῦνται δὲ ἡγεμόνας τῆς πτήσεως τὰς ἤδη τῆς ὁδοῦ πεπειραμένας· εἶεν δ’ ἂν ὡς τὸ εἰκὸς αἱ πρεσβύτεραι· καὶ οὐραγεῖν δὲ τὰς τηλικαύτας ἀποκρίνουσι· μέσαι δὲ αὐτῶν αἱ νέαι τετάχαται. Φυλάξασαι δὲ ἄνεμον οὖρον καὶ φίλον σφίσι καὶ κατόπιν ῥέοντα, χρώμεναί οἱ πομπῷ, καὶ ἐπωθοῦντι ἐς τὸ πρόσω, εἶτα μέντοι τρίγωνον ὀξυγωνίον τὸ σχῆμα τῆς πτήσεως ἀποφήνασαι, ἵνα ἐμπίπτουσαι τῷ ἀέρι διακόπτωσιν αὐτόν, ῥᾷστα τῆς πορείας ἐχόμεναι. ὅταν δὲ προσφερόμενον ἀετὸν ἴδωσι, γενόμεναι κύκλος καὶ κολπωσάμεναι, μηνοειδὲς τὸ μέσον ἀποφήνασαι, ἀπειλοῦσιν ὡς ἀντιταξόμεναι· ὁ δὲ ἀναχωρεῖ καὶ κρούεται τὸ πτερόν. ἀλλήλων δὲ τοῖς πυγαίοις ἐπερείδουσαι τὰ ῥάμφη, εἶτα μέντοι τρόπον τινὰ τὴν πτῆσιν συνδέουσι, καὶ τὸν κάματόν σφισιν εὐκάματον ἀποφαίνουσιν ⋮ Ἔτι περὶ τῶν αὐτῶ ν . Αἱ γέρανοι ἐξ Αἰγύπτου ὥρᾳ θέρους ἀνιστάμεναι, οὐκ ἀνεχόμεναι τὸ θάλπος, τείνασαι τὰς πτέρυγας ὥσπερ ἱστία φέρονται διὰ τοῦ ἀέρος εὐθὺ τῆς Σκυθῶν γῆς· ἅτε δὲ οὐκ ἐν ῥυθμῷ ὂν τὸ ζῷον, ἀλλ’ ἐμβριθὲς μὲν τὰ μέσα, μακρὸν δὲ κατὰ τὸν αὐχένα, κοῦφον δὲ κατὰ τὸ οὐραῖον, ἀραιὸν δὲ κατὰ τὰς πτέρυγας, ἐσχισμένον δὲ κατὰ τὰ κῶλα, κλυδωνίζεται τὴν πτῆσιν, ὥσπερ ναῦς χειμαζομένη· τοῦτο γνοῦσα ἡ γέρανος ἢ αἰσθομένη ἢ πειραθεῖσα οὐ πρότερον ἀνίπταται, πρὶν ξυλλάβῃ λίθον τῷ στόματι, ἕρμα εἶναι αὐτῇ πρὸς τὴν πτῆσιν ⋮ Κυβερνήτης ἰδὼν ἐν πελάγει μέσῳ γεράνους ὑποστρεφούσας καὶ τὴν ἔμπαλιν πετομένας, συνεῖδεν ἐναντίου προσβολὴν πνεύματος. καὶ τῶν ὀρνέων μαθητὴς γενόμενος παλίμπλους ἦλθε καὶ τὴν ναῦν περιέσωσεν. Γέρων βοῦς ἀπένθητος δόμοισιν : ἐπὶ τῶν καθ’ ὥραν τελευτησάντων.

5 37 Γέρων πίθηκος ἁλίσκεται μέν , μετὰ χρόνον δ ’ ἁλίσκεται : ἐπὶ τῶν ἅπαξ δυστυχησάντων. Γέλως Ἰωνικός : ἐπὶ τῶν ἐκλελυμένων· εἰς τοῦτο γὰρ οἱ Ἴωνες διαβάλλονται.

5 39 Γέροντα δ ’ ὀρθοῦν φλαυρόν, ὃς νέος πέσοι. Τὸ γ μετὰ τοῦ η.

5 40 Γηράσκω ἀεὶ πολλὰ διδασκόμενος : ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων. Γῆρας λέοντος κρεῖσσον ἀκμαίων νεβρῶ ν .

5 42 Γῆς ἔντερα : ἐπὶ τῶν μηδενὸς ἀξίων. Γηρᾷ βοῦς , τὰ δ ’ ἔργα πολλὰ τῷ βοΐ : ἐπὶ τῶν γεγηρακότων καὶ μηκέτι χρησιμευόντων.

5 44t Τὸ γ μετὰ τοῦ ι. Γιγάντων ἀπόνοια : ἐπὶ τῶν ἀθέων καὶ ἀσεβῶν· παρόσον κἀκεῖνοι τοιοῦτοι.

5 45t Τὸ γ μετὰ τοῦ λ. Γλαύκου τέχνη : ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων.

5 45 ἢ ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων· ἐπειδὴ οὗτος εὗρε σιδήρου κόλλησιν, Χῖος ὤν. Γλαῦκα Ἀθήναζε : καί· Γλαῦκα Ἀθηναίοις : ἐπὶ τῶν τοιαῦτα ἀλλαχόθεν ἐμπορευομένων πρὸς τοὺς ἄφθονα ἔχοντας.

5 47

Γλαῦκος ἄλλος ἱππόβρωτος ⋮ Φασί ν , ὅτι οὗτος κατεβρώθη ὑπὸ τῶν ἵππων ἀγνοοῦντες, ὅτι ἱπποτροφῶν, καὶ τῶν οἰκείων οὐδενὸς ἐπιμελούμενος ἐπετρίβη καὶ ἐπέλιπεν αὐτὸν ὁ βίος. Γλαῦκος πιὼν μέλι , ἀνέστη : ἐπὶ τῶν κηρυχθέντων, ὅτι ἀπέθανον, εἶτα φανερουμένων ⋮ Γλαύκου ἀποθανόντο ς , οὐ τοῦ Σισύφου, ἐπὶ τῷ μέλιτι, ὁ Μίνως ἐν τῷ τύμβῳ κατώρυξε τὸν τοῦ Κοιράνου Πολύειδον, ὃς ἦν ἐκ τοῦ Ἄργους.

5 48 ὃς ἰδὼν δράκοντι πόαν ἐπιθέντα τεθνεῶτι καὶ ἀναστήσαντα αὐτὸν, καὶ οὗτος τὸ αὐτὸ ποιήσας εἰς τὸν Γλαῦκον ἀνέστησε. Τοῦτο δὲ ἀδύνατον. ἐγένετο δὲ τοιόνδε τί· Γλαῦκος πιὼν μέλι, ἐταράχθη· χολῆς δὲ πλείονος αὐτῷ κινηθείσης ἐλυποθύμησεν ὁ Γλαῦκος. ἀφίκοντο οὖν οἵ τε ἄλλοι ἰατροί, ἅτε δὴ χρήματα ληψόμενοι, ἀλλὰ δὴ καὶ Πολύειδος. ὃς ἰδὼν τὴν πόαν ἣν ἔμαθε παρά τινος ἰατροῦ, ᾧ ὄνομα ἦν Δράκων, καὶ ταύτῃ τῇ βοτάνῃ χρησάμενος, ὑγιᾶ ἐποίησε τὸν Γλαῦκον. ἔλεγον οὖν τινες, ὅτι Πολύειδος τὸν Γλαῦκον ὑπὸ μέλιτος θανόντα ἀνέστησεν· ἀφ’ ὧν τὸν μῦθον ἐπλάσσαντο. Γλαῦκος φαγὼν πόαν οἰκεῖ ἐν θαλάττῃ : ὁμοία τῇ προτέρᾳ ⋮ Αἴδεται ὅτι Γλαῦκος ὁ θαλάττιος φαγὼν πόαν, ἀθάνατος ἐγένετο καὶ νῦν ἐν θαλάττῃ οἰκεῖ.

5 49 τὸ δὲ τῇ πόᾳ ταύτῃ μόνον Γλαῦκον ἐντυχεῖν, καὶ λίαν ἔνι γε εὐηθές, τό τε ἄνθρωπον ἐν θαλάσσῃ ἢ ἄλλο τι τῶν χερσαίων ζῆν. Ἔχει δὲ τὸ ἀληθὲς οὕτως· Γλαῦκος ἦν ἀνὴρ ἁλιεὺς Ἀνθηδόνιος· ἦν δὲ κολυμβητής, ἐν τούτῳ ὑπερφέρων πάντων κολυμβητῶν. κολυμβῶντα δὲ ἐν τῷ λιμένι ὁρώντων αὐτὸν τῶν πολιτῶν, αὐτὸς διακολυμβήσας εἴς τινα τόπον, καὶ μὴ ὡφθεὶς τοῖς οἰκείοις ἡμέρας ἱκανάς, διακολυμβήσας πάλιν, ὤφθη αὐτοῖς. πυνθανομένων δὲ τῶν οἰκείων, ποῦ διέτριβεν, αὐτὸς ψευδόμενος ἔφη, Ἐν τῇ θαλάττῃ· καὶ συγκλείων εἰς αὐτὸν ἰχθύας, ὁπότε χειμὼν γένοιτο καὶ μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιτο λαμβάνειν, ἐλέγετο τοῖς πολίταις, τίνας βούλοιντο τῶν ἰχθύων ἀποκομισθῆναι αὐτοῖς· καὶ κομίζων οὓς ἂν ἤθελον, Γλαῦκος θαλάσσης ἐκλήθη. καὶ περιτυχὼν θηρίῳ θαλαττίῳ ἀπώλετο· μὴ ἐλθόντος δὲ αὐτοῦ ἐκ τῆς θαλάττης ἐμύθευσαν οἱ ἄνθρωποι, ὡς ἐν θαλάττῃ οἰκεῖ κἀκεῖ μένει. Γλυκὺς ἀγκών : οὐ κατ’ ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν, ὦ γλυκέα ἤθη.

5 50 ἔστι δὲ παροιμία, ὡς ἐπιφωνούμενον· οὕτως ἐχρήσατο Πλάτων ὁ κωμικὸς ἐν τῷ Φάωνι· γέρων αὐτῷ ὑπόκειται ἐρῶν αὐλητρίδος· ὦ χρυσοῦν ἀνάδημ α , ὦ γλυκὺς ἀγκώ ν . ὡς εἴ τις εἴποι· ὦ γλυκὺς πῆχυς. Γλυκὺς ἀπείρων πόλεμος : ἐπὶ τῶν ὑπ’ ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς κινδύνους.

5 52 Γλυκεῖα ὀπώρα φύλακος ἐκλελοιπότος : ἐπὶ τῶν ἄνευ μόχθου τἀλλότρια καρπουμένων. Γλῶσσα ποῦ πορεύῃ · πόλιν ἀνορθώσασ α , καὶ πάλιν καταστρέφουσ α ; ἐπὶ τῶν διὰ λόγων ἢ βλαπτόντων ἢ ὠφελούντων.

5 54 Γλαῦξ ἵπταται : ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον τοῖς Ἀθηναίοις ἐνομίζετο. λέγεται ἐπὶ τῶν αἰσίοις χρωμένων οἰωνῷ. Γλαῦκα εἰς Ἀθήνας : ἐπὶ τῶν ἐπιδεικνυμένων πρὸς τοὺς εἰδότας ἅπερ ἄμεινον αὐτοῦ ἴσασιν, ὅτι πολλοὶ εἰς Ἀθήνας γλαῦκες ⋮ Γλαῦξ ἐπί τινα πρᾶξιν σπουδῆς ἐχομένην ἀνδρὶ ὡρμημένῳ συνοῦσα καὶ ἐπιστᾶσα, οὐκ ἀγαθὸν σύμβολον, φασίν ⋮ Ἐν τῇ Κρήτῃ γλαῦκα μὴ γίνεσθαί φασι τὸ παράπαν, ἀλλὰ καὶ εἰσκομισθεῖσαν ἀποθνήσκειν ⋮ Τὸν ἄῤῥενα ἡ θήλεια νικήσασα ὄρνιν ἐν τῇ μάχῃ, ἀμβρύνεταί τε ὑφ’ ἡδονῆς, καὶ καθίησι κάλλη, καὶ φρονήματος ὑποπίμπλαται καὶ βαίνει μακρότερα.

5 56t Τὸ γ μετὰ τοῦ ν. Γνῶθι σαυτόν : ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων.

5 57t Τὸ γ μετὰ τοῦ ο. Γόργειον βλέπει : ἐπὶ τῶν ἀγρίως βλεπόντων.

5 58 Γοργόνα Περσεὺς ἐχειρώσατο : ἐπὶ τῶν πάνυ τι γενναῖον κατωρθωκότων ⋮ Φασὶ τὸν Φόρκυνα τρεῖς ἐσχηκέναι θυγατέρας, αἵ τινες ἕνα ὀφθαλμὸν ἔχουσαι, ἀνὰ μέρος ἐχρῶντο· τούτῳ δὲ ἡ χρωμένη ἐνετίθει αὐτῆς εἰς τὴν κεφαλὴν καὶ οὕτως ἔβλεπε· καὶ μιᾶς αὐτῶν τῇ ἑτέρᾳ ἀποδιδούσης τὸν ὀφθαλμὸν ἔβλεπον πᾶσαι. ἐλθὼν δ’ ὁ Περσεὺς ὀπίσω αὐτῶν ἐν ἠρεμαίῳ

βαδίσματι, κρατήσας τὸν ὀφθαλμὸν κατέχων καὶ ξίφος γεγυμνωμένον, φησὶ δεῖξαι αὐτῷ τὴν Γοργόνα· ἐὰν δὲ μὴ φράσωσιν, ἀποκτεῖναι αὐτάς. αἳ φοβούμεναι φράζουσιν. ὁ δὲ ἀποτεμὼν τὴν κεφαλὴν τῆς Γοργόνος εἰς ἀέρα ἦλθε, καὶ δείξας ταύτην τῷ Πολυδεύκῃ λίθινον τοῦτον ἐποίησε. Τοῦτο δὲ γελοῖον, τὸ ἄνδρα ζῶντα νεκροῦ κεφαλὴν ἰδόντα ἀπολιθωθῆναι. τίς γὰρ δύναμις τοῦ νεκροῦ; ἐγένετο δὲ τοιοῦτόν τι· Φόρκυς ἦν ἀνὴρ Κυρηναῖος. οἱ δὲ Κυρηναῖοι κατὰ γένος μέν εἰσιν Αἰθίοπες· οἰκοῦσι δὲ νῆσον τὴν Κύρνον, ἔξω οὖσαν τῶν Ἡρακλείων στηλῶν. ἀροῦσι δὲ Λιβύην περὶ τὸν Αὔνονα ποταμὸν κατὰ Καρχηδόνα. εἰσὶ δὲ σφόδρα χρυσοῖ. ὃς Φόρκυν ἐβασίλευε τῶν Ἡρακλείων στηλῶν· εἰσὶ δὲ τρεῖς· καὶ ποιεῖ τετράπηχυ ἄγαλμα Ἀθηνᾶς χρυσοῦν. καλοῦσι δὲ τὴν Ἀθηνᾶν Κυρηναῖοι Γοργόνην, ὥσπερ τὴν Ἄρτεμιν Θρᾷκες Βένδειαν, Κρῆτες δὲ Δίκτυναν, Λακεδαιμόνιοι δὲ Οὖπιν. Ὁ μὲν οὖν Φόρκυν ἀποθνήσκει πρὶν εἰς τὸ ἱερὸν ἀναθεῖναι τὸ ἄγαλμα. κατέλιπε δὲ κόρας τρεῖς, Σθενώ, Εὐρυάλην καὶ Μέδουσαν. αὗται γήμασθαι μὲν οὐδενὶ ἠβουλήθησαν, διελόμεναι δὲ τὴν οὐσίαν ἑκάστη ἦρχε νήσου. Τὴν δὲ Γοργόνα οὔτε ἀναθῆναι τῷ ἱερῷ αὐταῖς ἐδόκει οὔτε διελεῖν, ἀλλ' ἐν μέρει κατετίθεντο ἐναλλὰξ θησαυρὸν ἑαυταῖς· ἦν δὲ τῷ Φόρκυνι ἑταῖρος καλὸς καὶ ἀγαθός, καὶ αὐτῷ ἐν παντὶ πράγματι ἐχρῶντο ὥσπερ ὀφθαλμῷ. Περσεὺς δ' ἀνὴρ φυγὰς ἐξ Ἄργους ἐλῄζετο τὰ κατὰ θάλατταν, ἔχων πλοῖα καὶ ἰσχύν τινα περὶ αὐτόν. Πυθόμενος δὲ ταύτην τὴν Γοργόνα βασίλισσαν εἶναι γυναικῶν καὶ πολύχρυσον μέν, ὀλίγανδρον δέ, πρῶτα μὲν ναυλοχεῖ ἐν τῷ πορθμῷ καὶ μεταξὺ τῆς Κυρήνης καὶ τῆς Σάρδεων διαπλέων τὰ παρὰ τῆς ἑτέρας εἰς τὴν ἑτέραν τὸν ὀφθαλμὸν λαμβάνει. ὧν μία φράζει αὐτῷ ὅτι ἄλλο οὐδὲν ἔχει λαβεῖν παρ' αὐτῶν, εἰ μὴ τὴν Γοργόνα· μηνύει δὲ αὐτῷ τὸ πλῆθος τοῦ χρυσοῦ. αὗται οὖν αἱ κόραι, ἐπεὶ οὐκ εἶχον τὸν ὀφθαλμὸν ἐν τῷ μέρει κατὰ τὸ εἰρημένον, συνῄεσαν ὁμόσε, καὶ ᾐτιᾶτο ἑτέρα τὴν ἑτέραν. ὁπότε δὲ ἐπενοοῦντο μὴ ἔχειν, ἐθαύμαζον τί ἂν εἴη τὸ γεγονός. ἐν τούτῳ προσπλεῖ αὐταῖς ὁ Περσεὺς καὶ φράζει, ὡς αὐτὸς ἔχει ἕνα ὀφθαλμόν· καί φησι μὴ ἀποδοῦναι αὐταῖς, ἐὰν μὴ φράσωσιν, ὅπη ἐστὶν ἡ Γοργών. ἐπηπείλει δὲ καὶ προσκτενεῖν, εἰ μὴ εἴποιεν· ἡ μὲν οὖν Μέδουσα οὐ φράζει δεῖξαι· ἡ δὲ Σθενὼ καὶ Εὐρυάλη ἔδειξαν. τὴν μὲν οὖν Μέδουσαν ἀποκτείνει, ταῖς δὲ ἄλλαις τὸν ὀφθαλμὸν ἀποδίδωσι. λαβὼν δὲ τὴν Γοργόνα κατέκοψεν· ἀπαιτήσας δὲ τριήρη, ἐπέθηκε τῆς Γοργόνος τὴν κεφαλὴν ἐπ' αὐτὴν καὶ τῇ νηῒ δὲ ὄνομα ἔθετο Γοργών. [45]

5 58 (50) ἐν ταύτῃ δὲ παραπλέων χρήματα παρὰ τῶν νησιωτῶν εἰσεπράττετο καὶ τοὺς μὴ διδόντας ἀνῄρει. οὕτω δὴ καὶ τοὺς Σερίφους ᾔτει προσπελάσας ἐκείνοις χρήματα· συναγαγόντων δὲ αὐτῶν, ὁ Περσεὺς ᾔτει πάλιν εἰς τὴν ἀγοράν, οἳ καὶ ἐκλιπόντες τὴν Σέριφον ᾤχοντο. Προσπλεύσας οὖν πάλιν ὁ Περσεὺς ἐπὶ τὴν ἀπαίτησιν τῶν χρημάτων καὶ ἐλθὼν εἰς τὴν ἀγορὰν, ἄνθρωπον μὲν οὐδένα εὗρε, λίθους δὲ ἀνδρομήκεις. τοῖς οὖν λοιποῖς τῶν νησιωτῶν ἔλεγεν ὁ Περσεύς, ἐπειδὰν μὴ παρεῖχον τὰ χρήματα, ὁρᾶτε, μὴ ὡς Σέριφοι θεασάμενοι τὴν τῆς Γοργόνος κεφαλὴν ἀπελιθώθησαν, τοῦτο πάθητε καὶ ὑμεῖς. Γόνυ κνήμης ἔγγιον : ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων καὶ τοὺς πλησίους τῶν μακράν. [60]

5 60t Τὸ γ μετὰ τοῦ ρ. Γραῦς βακχεύει : ἐπὶ τῶν παρ' ὥραν τι ποιούντων · καὶ Ἀριστοφάνης· Γραῦς καπρῶσα καὶ βακχεύους α .

5 61 Γραῦς ὥς τις ἵππος τὸν χαραδραῖον τάφον ἕξεις : ἐπὶ τῶν ἀξίων τὰ ἔσχατα πάσχειν· οἱ γὰρ γεγηρακότες ἵπποι εἰς χαράδρους ἐμβάλλονται. Γρᾶες κωθωνιζόμενα ι .

5 63 Γραῶν ὕθλοι : ἐπὶ τῶν μάτην ληρούντων. Γρῦ τὸ Δίωνος : ἐπὶ τοῦ μικροῦ καὶ τυχόντος.

5 65 Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει : ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων. Γραῦς ἀναθυᾷ : ἀντὶ τοῦ καπρᾷ.

5 66 ἐπὶ τῶν παρ' ἡλικίαν γυναικιζομένων. Τὸ γ μετὰ τοῦ υ.

5 67

Γυμνότερος Ἰαλέμου : δηλοῖ τὸν θρῆνον· τάσσεται δὲ ἐπὶ τῶν οἰκτῶν. Γυμνοποδίαις χαίρει : ἐπὶ τῶν φιλεόρτων· παῖδες ἐχόρευον ἐν Σπάρτῃ τῆς Λακωνικῆς εἰς θεοὺς ὕμνους ᾄδοντες εἰς τιμὴν τῶν ἐν Θυραιαῖς ἀποθανόντων Σπαρτιατῶν.

5 69 Γυμνῇ τῇ κεφαλῇ : ἐπὶ τῶν ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν. Γύγαρθον φυσᾷς : ἐπὶ τῶν μάτην πονούντων· σημαίνει δὲ τὸ δίκτυον.

5 71 Γύγου δακτύλιος : ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. Γύγης γὰρ βουκόλος ὢν τῆς γῆς ῥαγείσης εὗρε νεκρὸν φοροῦντα δακτύλιον, καὶ τοῦτον περιελόμενος, φύσιν ἔχοντα ὥστε κατὰ στροφὰς τῆς σφενδόνης ὁρᾶσθαι, ὅταν βούληται καὶ μὴ, δι’ αὐτοῦ ἔκτεινε τὸν βασιλέα Κανδαύλην καὶ ἦρξε. Γυμνὸς ὡς ἐκ μήτρας : ἐπὶ τῶν ἀπόρων.

5 73 Γυμνότερος πατταλου : ἐπὶ τῶν σφόδρα ἀπόρων. Γυπὸς σκιά : ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων.

5 75 Γυναικὸς φρένας : ἐπὶ τῶν ἀνοήτων. Γυνὴ στρατηγεῖ · καί· Γυνὴ στρατεύεται : ἐπὶ τῶν παραδόξων.

5 77 Γυναικὶ μὴ πίστευε ε , μη δ ’ ὅταν θάν ῃ . Γυναικῶν ὄλεθροι : ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων.

5 79t Τὸ γ μετὰ τοῦ ω. Γωνίας ἄξιος ἀνήρ : ἐπὶ τῶν ἀσυνέτων καὶ ἀπραγμόνων.

5 80t Ἀρχὴ τοῦ δ στοιχείου. Τὸ δ μετὰ τοῦ α. Δαιδάλου ποίημα : ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας ⁝ Λέγεται γὰ ρ , ὅτι Μίνως Δαίδαλον καὶ Ἴκαρον καθεῖρξε διά τινα αἰτίαν, υἱοὺς αὐτοῦ ὄντας.

5 80 Δαίδαλος δὲ ποιήσας πτέρυγας προσθετὰς ἐξῆλθε μετὰ τοῦ Ἰκάρου· νοῆσαι δὲ ἄνθρωπον πετόμενον ἀμήχανον καὶ ταῦτα πτέρυγας ἔχοντα προσθετάς. τὸ οὖν λεγόμενον ἦν τοιοῦτον· Δαίδαλος ὢν ἐν είρκτῇ, καθεὶς ἑαυτὸν διὰ θυρίδος καὶ σκαφίδι ἐμβὰς σὺν τῷ Ἰκάρῳ εἰς θάλασσαν ἔπλεεν· αἰσθόμενος δ’ ὁ Μίνως, πέμπει πλοῖα διώξοντα. ὡς ᾔσθοντο δὲ Ἴκαρός τε καὶ Δαίδαλος διωκόμενοι, ἀνέμου λάβρου καὶ σφοδροῦ ὄντος, πετόμενοι ἤγουν πλέοντες ἐν τῷ πελάγει περιτρέπονται. καὶ ὁ μὲν Δαίδαλος σώζεται εἰς τὴν γῆν, ὁ δὲ Ἴκαρος τελευτᾷ ἐν τῷ πελάγει· ὅθεν ἀπ’ ἐκείνου Ἰκάριον πέλαγος ἐκλήθη· ἐκβληθεὶς δ’ ὁ Ἴκαρος ὑπὸ τῶν κυμάτων παρὰ τοῦ πατρὸς ἐτάφη. Δασεῖαν νύκτα : τὴν χειμερινὴν φασί.

5 82 Δασύποδα λαγὼν παραδραμεῖται χελώνη : ἐπὶ τοῦ ἀδυνάτου. Δατὸς ἀγαθῶν : ἐπὶ εὐδαιμονούντων· ἡ γὰρ Δατὸς πόλις ἦν ἐπὶ Θρᾴκης σφόδρα εὐδαίμων.

5 83 δεδηλώκατον δὲ περὶ αὐτῆς Θεόπομπος ἐν τρίτῳ Φιλιππικῷ καὶ Ἔφορος ἐν τετάρτῳ. Δαιδάλου πτερά : ἐπὶ τῶν δι’ ἀπορίαν χρωμένων προσθήκῃ παρελκούσῃ.

5 85 Δασύπους κρεῶν ἐπιθυμεῖ: λέγεται ἐπὶ τοῦ ἐπιθυμοῦντος παρ’ ἄλλου γενέσθαι τὰ ὄντα αὐτῷ. Δακτύλου ἡμέρα : ἐπὶ τῶν εὐημερούντων.

5 86 Δάκτυλος γάρ τις ἐγένετο ἀνὴρ Ἀθήνησι μεγίστων τιμῶν λαχών. Δαφνίνην φορῶ βακτηρίαν : ἐπὶ τῶν ὑπό τινων ἐπιβουλευομένων· παρόσον ἀλεξιφάρμακον ἡ δάφνη.

5 88t Τὸ δ μετὰ τοῦ ε. Δευτέρων ἀμεινόνων : ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καυθῇ καὶ ἐπὶ δεύτερα τραπῶσι.

5 89 Δέδοται καὶ κακοῖσιν ἄγρα : ἐπὶ τῶν παρ’ ἀξίαν εὐπραγούντων. Δέχεται καὶ βῶλον ἀλήτης : ἐπὶ τῶν πάντα δεχομένων· ἀλήτην γάρ φασί τινα βουκόλῳ συναντήσαντα αἰτῆσαι τροφήν· ἄραντα δ’ ἐκεῖνον βῶλον δοῦναι αὐτῷ ὡς τοῦ Διὸς ὄντα· τὸν δὲ τοῦτο εἰπεῖν.

5 91 Δελφῖνα πρὸς τοὐραῖον δεῖς : ἐπὶ τοῦ ἀδυνάτου, διὰ τὸ εὐκίνητον εἶναι. πρὸς τοὺς οὐ δυναμένους τηρεῖν τὰ διδόμενα ⁝ Φιλοίκειον δὲ ὁ δελφὶς ζῷον πεπίστευται, καὶ τούτου τὸ μαρτύριον· Αἶνος πόλις ἐστὶ Θρῇσσα. ἔτυχεν οὖν ἁλῶναι δελφῖνα καὶ τρωθῆναι μέν, οὐ μὴν εἰς θάνατον, ἀλλ’ ἔτι βιώσιμα εἶναι τῷ ἑαλωκότι· οὐκοῦν ἐῤῥύη μὲν αἷμα, ᾔσθοντο δὲ οἱ ἀθήρατοι καὶ ἀφίκοντο εἰς τὸν λιμένα ἀγέλῃ καὶ κατεσκίρτων καὶ ἦσάν τι δρασείοντες οὐκ ἀγαθόν. ἐν ἔθει δὲ ἦν, ὡς τὸ εἰκός, νήχεσθαι καὶ παῖδας αὐτῶν. οἱ τοίνυν νέοι ἔδεισαν καὶ ἀφῆκαν τὸν

ἑαλωκότα. καὶ ἐκεῖνοι κομισάμενοι ὡς ἑταῖρον ἕνα τῶν κηδεστῶν ἢ γένει προσήκοντα ᾤχοντο ἀπιόντες. σπάνιον δὲ ἄνθρωπος ἢ οἰκείῳ δυστυχήσαντι ἢ οἰκείᾳ κοινωνὸς σπουδῆς καὶ φροντίδος. Δεκάπους σκιὰ ἐστίν : ἐπὶ τῶν κατὰ καιρὸν ἀπιόντων ἐπὶ τὸ δεῖπνον· τὸ γὰρ παλαιὸν οἱ καλοῦντες ἐπὶ δεῖπνα καὶ οἱ καλούμενοι παρεσημαίνοντο τὴν σκιάν· καὶ οὕτως οἱ μὲν ἔμενον τοὺς κληθέντας, οἱ δὲ ἀπῄεσαν ἐπὶ τὰς ἑστιάσεις, ἐφ’ ἧς οἷόντε ἦν τεκμήρασθαι, εἰς πόσας ὥρας προσήκει.

5 93 Δειλότερος εἶ τοῦ Παρακύπτοντος : ἐπὶ τῶν σφόδρα δειλῶν. ἀνὴρ γὰρ οὗτος ἐγένετο δειλός. ὃς παρακύψας ἐκ σπηλαίου καὶ ἰδὼν τὸν Ἡρακλῆν ἀπελιθώθη. καὶ διέμεινεν ἔτι καὶ νῦν ὁ λίθος ἀνθρωποειδής. Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχει , δίψει δ ’ ἀπόλλυται : οὗτοι γὰρ διὰ τὸ ἱεροῦσθαι ἐστεφανωμένοι μέν εἰσι, δίψει δ’ ἀπόλλυνται· ἀντὶ τοῦ τῶν ἀναγκαίων ἀποροῦσι.

5 95 Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι : ἐπὶ τῶν σφόδρα κακουργοτάτων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. Δελφῖνα νήχεσθαι διδάσκεις : ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων, ἐν οἷς ἤσκηνται· ἢ ἐπὶ τῶν ἄκρως εἴς τι πεπαιδευμένων καὶ προσποιουμένων παρά τινων μανθάνειν ⋮ Λέγεται περὶ δελφίνων τουτί.

5 96 Κοίρανος ὄνομα, τὸ γένος ἐκ Πάρου, δελφίνων τινῶν ἐν Βυζαντίῳ βόλῳ περιπεσόντων καὶ ἑαλωκότων, δοὺς ἀργύριον οἱονεὶ λύτρα τοῖς ἠγρευκόσιν ἀφῆκεν αὐτοὺς ἐλευθέρους. ἔπλει γοῦν ποτε πεντηκόντορον ἔχων· ἀνατραπείσης δὲ τῆς νεὼς, καὶ τῶν ἄλλων διαφθαρέντων, τὸν Κοίρανον ἔσωσαν δελφῖνες, ὑπὲρ ἧς φθάσαντες εἶχον εὐεργεσίας τὴν ἴσην ἀντιδιδόντες. ἄκρα δὲ δείκνυται καὶ ὕπαντρος πέτρα, ἔνθα ἐξενήξαντο ὀχοῦντες αὐτόν, καὶ καλεῖται ὁ χῶρος Κοιράνειος. χρόνῳ δ’ ὕστερον τεθνεῶτα τόνδε τὸν Κοίρανον θαλάττης πλησίον ἔκαιον· εἶτα μέντοι αἰσθόμενοί ποθεν οἱ δελφῖνες ἠθροίσθησαν, καὶ εἰς ὅσον ἡ πυρὰ ἤκμαζε καιομένη, παρέμειναν ὡς φίλῳ φίλοι πιστοί· εἶτα μέντοι κατασβεσθείσης, οἱ δὲ ἀπενήξαντο. ἄνθρωποί γε μὴν ζῶντάς τε καὶ πλουτοῦντας θεραπεύουσι, νεκροὺς δὲ ἀποστρέφονται ἢ καὶ δυστυχοῦντας, ἵνα μή τινα ἐκτίνωσιν εὖ παθόντες χάριν. Δεσμοὶ Τυρηνοί : οἷς ἐχρῶντο κατ’ ἐκεῖνο καιροῦ εἰς τὰς τῶν δεσμωτῶν κακουχίας.

5 98 Δεύτερος πλοῦς : ὅτε ἀποτυχών τις οὐρίου κώπαις πλεῖ. Δελφῖνα λεκάνη οὐ χωρεῖ ⋮ Οἱ δελφῖνες τὸν ἐξ αὐτῶν τεθνεῶτα ὑποδύντες, φοράδην κομίζουσιν εἰς τὴν γῆν· τοῖς ἀνθρώποις πιστεύοντες θάψαι τοῦτον.

5 99 ἕπεται δὲ πλῆθος ἕτερον οἱονεὶ τιμῶντες ἢ καὶ νὴ Δία ὑπερμαχοῦντες, μή ποτε ἄλλο κῆτος ἐπιδράμῃ καὶ τὸν νεκρὸν ἁρπάσαν εἶτα δαίσηται. ὅσοι μὲν οὖν τῶν ἀνθρώπων εἰσὶν ἔνδικοι, θάπτουσιν αὐτούς· οἱ δ’ ἀπὸ Μουσῶν καὶ Χαρίτων ἀκηδῶς αὐτῶν ἔχουσι. Καὶ δότε συγγνώμην, ὦ δελφῖνες φίλοι, τῇ τῶν ἀνθρώπων ἀγριότητι, εἴγε καὶ Ἀθηναῖοι Φωκίωνα τὸν χρηστὸν ἔρριψαν ἄταφον, καὶ Ὀλυμπιὰς δὲ ἔκειτο γυμνὴ, ἡ τεκοῦσα τὸν ἐκ Διὸς, ὡς ἐκόμπασε· καὶ τὸν Ῥωμαῖον Πομπήϊον τὸν Μέγαν ἐπίκλην ἀποκτείναντες Αἰγύπτιοι, εἴασαν ἐρριμμένον, ἄμοιρον τῆς κεφαλῆς, πλησίον τῆς θαλάττης ⋮ Λέγεται καὶ τοῦτο περὶ δελφῖνος, ὅτι ἡ φύσις αὐτὸν ἀεικίνητον εἰργάσατο, καὶ πέρας τούτῳ τῆς κινήσεως τὸ καὶ τοῦ βίου τέλος. ὕπνου γοῦν δεόμενος μετεωρίσας τὸ σῶμα καὶ ἀναπλεύσας ἐπ’ ἄκρον τὸ ὕδωρ, ὡς ὁρᾶσθαι πᾶς, καταδαρθάνει· ἄϋπνος δὲ καὶ ἄμοιρος τοῦ θεοῦ τοῦδε οὐδὲ οὗτος ἐστίν. ὅτε γοῦν καθεύδει, ὠθεῖται εἰς βυθόν, ἕως ψαύσῃ τῆς κάτω γῆς· ὅταν δὲ προσπελασθῇ αὐτῇ, διϋπνίζεται κρουσθεὶς πρὸς τὸ δάπεδον, εἶτα ἀναδύνει· καὶ πάλιν εἰς ὕπνον ὑπαχθεὶς καὶ νικώμενος τοῦ θεοῦ κατολισθαίνει, καὶ αὖθις ἀφυπνισθεὶς τῇ αὐτῇ κρούσει ἀναπλεῖ πάλιν· καὶ πολλάκις δρᾷ τοῦτο, μεταξὺ ἡσυχίας καὶ ἐνεργείας ὤν, οὐ μὴν εἰς ἀεικινησίαν ἐμπίπτων παντελῆ ποτέ ⋮ Φυσικὴ δὲ ἄρα κοινωνία τις καὶ συγγένεια λέοντι καὶ δελφῖνι ἀπόρρητος· οὐ γὰρ, ὅτι βουλεύουσιν, ὁ μὲν τῶν χερσαίων, ὁ δὲ τῶν ἐναλίων, τοῦτο ἀπόχρη· ἀλλὰ γάρ τοι καὶ τήκοντα προϊόντες εἰς γῆρας

καὶ ἄλλως νοσήσαντες, ὁ μὲν τὸν χερσαῖον πίθηκον ἔχει φάρμακον, ὁ δὲ ἀναζητεῖ τὸν συμφυῆ. ἔστι δὲ καὶ ἐν θαλάττῃ πίθηκος, καὶ ἔστι καὶ τῷδε οὗτος ἀγαθὸν, ὡς ἐκείνῳ ἐκεῖνος. Τὸ δ μετὰ τοῦ η. [30]

5 100 Δηλίου κολυμβητοῦ : ἐπὶ τῶν ἄκρως νηχομένων. Δειρὸν βουλεύει ν , ἵν’ ἔχῃ καὶ πολλὸν ἄμεινον.

6 2t Τὸ δ μετὰ τοῦ ι. Διὰ μαχαιρῶν καὶ πῦρ ῥίπτειν δεῖ : ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκίνδυνα ποιούντων.

6 3 Διαβολῆς ὀξύτερον ξίφο ς , εἰ τὸ ξίφος προφθάσει τὸν διαβάλλοντα. Διαγόρας ὁ Μιλήσιος : ἐπὶ τῶν ἀθέων καὶ ἀπίστων.

6 5 Διακωδωνιασθέντες : ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν διαπαιζομένων λαμβάνεται. Διϊτρέφης ἀναπέπτωκεν : ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι πρᾶγμα.

6 7 Δικαιότερος σταχάνης : ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων· σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν· ἴσως παρὰ τὴν στάσιν. Δίκης ὀφθαλμός : ἧς δεῖ μηδέποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.

6 9 Δίκη δίκην ἔτικτε , καὶ βλάβη βλάβην : ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις. Διὸς κώδιον : οὗ τὸ ἱερεῖον Διῒ τέθυται.

6 10 θύουσι δὲ τῷ τε Μειλιχίῳ καὶ τῷ Κτησίῳ Διΐ. τὰ δὲ κώδια τούτων φυλάσσουσι, Δία προσαγορεύοντες. χρῶνται δ’ αὐτοῖς ὅ τε σκιροφορίων καὶ ὁ δᾳδοῦχος τὴν πομπὴν στέλλοντες ἐν Ἐλευσῖνι, καὶ ἄλλοι τινὲς πρὸς τοὺς καθαρμοὺς, ὑποστρωννύντες αὐτὰ τοῖς ποσὶ τῶν ἐναγῶν. Δίκην ὑφέξει , κἂν ὄνος δάκῃ κύνα : ἐπὶ τῶν ἐπὶ σμικροῖς συκοφαντουμένων. [5]

6 12 Δικτύῳ ἄνεμον θηρᾷς : ἐπὶ τῶν μάτην καὶ ἀνοήτως τι ποιούντων. Δίκης δικαιότερος : ἐπὶ τῶν σφόδρα δικαίων· καθ’ ὑπερβολήν.

6 14 Διζημένοισι τἀγαθὰ μόλις παραγίνετα ι , τὰ δὲ κακὰ καὶ μὴ διζημένοισιν. Διομήδειος ἀνάγκη : ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχραῖς οὔσαις ταῖς θυγατράσιν αὐτοῦ μίγνυσθαι, ἃς καὶ ἵππους ἀλληγορεῖ.

6 15 τάττεται δὲ ἐπὶ τῶν κατὰ ἀνάγκην τι πραττόντων. Οἱ δέ φασιν, ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ παλλάδιον κλέψαντες, νυκτὸς ἐπανῄεσαν· ἑπόμενος δὲ ὁ Ὀδυσσεὺς τὸν Διομήδην ἠβουλήθη ἀποκτεῖναι· ἐν τῇ σελήνῃ δὲ ἰδὼν τὴν σκιὰν τοῦ ξίφους ὁ Διομήδης, δείσας τὸν Ὀδυσσέα ἐποίησε προάγειν, παίων αὐτοῦ τῷ ξίφει τὸ μετάφρενον. Διονύσια : ἑορτὴ παρ’ Ἀθηναίοις· καὶ παροιμία ἐξ αὐτοῦ· Σχεδὸν τοσοῦτον ὅσον ἐκ Διονυσίων · ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. [5]

6 17 Διὸς Κόρινθος : ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. ἐῤῥήθη δὲ δι’ αἰτίαν τοιαύτην. Μεγαρεῖς ὑπακούοντες Κορινθίοις ἐβαρύνοντο τοῖς ἐπιτάγμασι, καὶ φανεροὶ δυσανασχετοῦντες ἦσαν ἐπὶ τούτῳ. Κορινθίων δὲ πρέσβεις ἦλθον εἰς τὰ Μέγαρα, καὶ τοῦ δήμου προσέχοντος αὐτοῖς, ἀγανακτοῦντες ἐβόων, Οὐκ ἀνέξεται ταῦτα ὁ Διὸς Κόρινθο ς . φασὶν οὖν τοὺς Μεγαρεῖς ἐκβάλλοντας αὐτοὺς παίειν, καὶ λέγειν· Παῖε τὸν Διὸς Κόρινθο ν . Δίχολοι γνῶμαι : οἱονεὶ δίτροποι. [5]

6 18 ἐπὶ τῶν διτρόπων. Διὸς ἐγκέφαλος : τὸ κάλλιστον βρῶμα· ἢ βασιλέως ἐγκέφαλος· ἐπὶ τῶν ἡδυπαθούντων· οἱ δὲ, ὅτι τὰ πολυτελῆ βρώματα παρὰ Πέρσαις Διὸς ἐγκέφαλος λέγεται.

6 20 Διὸς ψῆφος : οὕτω καλεῖται ὁ τόπος, ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν. Κρατῖνος Ἀρχιλόχοις· Ἔνθα Διὸς μεγάλου θῶκοι πεσσοί τε καλοῦντα ι . Τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων. Διὰ δακτυλίου γ ’ ἂν ἑλκύσαις : ἐπὶ τῶν διὰ λύπην ἢ νόσον ἰσχνῶν γινομένων. [5]

6 21

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριστοφάνης ἐν Πλούτῳ. Δίσκους ὠθεῖ ὑπὲρ τὰ ἐσκαμμένα : ἐπὶ τῶν προτερούντων ἐπὶ δύο τινῶν πραγμάτων ἐπαίνου ἀξίων· τὸ δ' ἓν ἐπισταμένων βέλτιον τοῦ ἑτέρου.

6 23 Δὶς ἑπτὰ πληγαῖς πολύπους πιλούμενος : ἐπὶ τῶν κολάσεων ἀξίων· παρόσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις πρὸς τὸ πίων γενέσθαι. Δ ι ' ὀξείας δραμεῖν : ἐπὶ τῶν διακινδυνευόντων· ὀξεῖαν γὰρ λέγουσι τὴν λόγχην.

6 25 Διωλύγιον κακόν : ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφισταμένων. Δὶς καὶ τρὶς τὸ καλόν , τὸ δὲ κακὸν οὐ δ ' ἅπαξ : δῆλον τοῦτο.

6 27 Δὶς παῖδες οἱ γέροντες : ἐπὶ τῶν πρὸς τὸ γῆρας εὐηθεστέρων εἶναι δοκούντων. Διὰ τοῦ τοίχου λαλεῖ : ἐπὶ τῶν ἀναισθήτων.

6 29 Δὶς πρὸς τὸ αὐτὸν αἰσχρὸν προσκρούειν λίθον : ἐπὶ τῶν ἐκ δευτέρου τοῖς αὐτοῖς περιπιπτόντων. Διὰ παλαιᾶς ἡμέρας : ὥσπερ διὰ χρόνου, διὰ μακροῦ.

6 31 Διὰ μέσου καὶ λιμὸς ἔῤῥει καὶ κάλλις τ ' ἀπόλλυται : φθαρέντος γὰρ τοῦ λιμώττοντος καὶ ὁ λιμὸς ἀπόλλυται. Τὸ δ μετὰ τοῦ ο.

6 32 Δοίδυξ αὔξει : ἐπὶ τῶν μὴ αὐξανομένων· ὁ γὰρ δοίδυξ μικρός ἐστι καὶ στρογγύλος. Δορύκειον : ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων.

6 33 Οἱ δεκατευθέντες εἰς Δελφοὺς ὑπὸ Ἀθηναίων Γεφυραῖοι λαβόντες χρησμόν· ἀνδρὶ Γεφυραίῳ φίλος οἶκο ς , ἀκολουθοῦντες βουσίν, ἕως ἂν οὗ κοπιῶσιν, ὁ θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου ἐπὶ τὴν Τάναγραν καλουμένην ὥδευσαν, δόντες ἐν τῷ προηγουμένῳ κυρίκειον, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους. Δοῦλος ὢν κόμην ἔχει ς . [5]

6 35 Δούλων πόλις : ἐν Λιβύῃ. Εὔφορος ἐν πέμπει. καὶ ἑτέρα ἱεροδούλων, ἐν ᾗ εἷς ἐλεύθερος ἐστίν· ἔστι δὲ καὶ ἐν Κρήτῃ Δουλόπολις, ὡς Σωσιστράτης ἐν τῇ Κρητικῶν· ἔστι δέ τις περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασιν συνοικίσαι τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους, αὐτόθι συναγαγόντα συκοφάντας καὶ ψευδομάρτυρας καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους, ὡς Θεόπομπος ἐν τρισκαιδεκάτῃ τῶν Φιλιππικῶν φησί. Τὸ δ μετὰ τοῦ ρ. [5]

6 36 Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται : παρόσον ἀνὴρ μέγας ὅταν σφαλῇ, πάντες κατ' αὐτοῦ φέρονται καὶ τὰ αὐτοῦ ἁρπάζουσι. Τὸ δ μετὰ τοῦ υ.

6 37 Δύω τοίχους ἀλείφεις : λέγεται ἐπὶ τῶν ἐπαμφοτεριζόντων καὶ διὰ μέσου χωρούντων ἐν μάχαις ἢ φιλίαις· εἴρηται δὲ ἴσως ἀπὸ τῶν δύο τοίχους εὐφεγγίας ποιούντων. Δύο θεοὺς ἥκω κομίζων ὑμῖν , πειθὼ καὶ βίαν : ἀπόφθεγμα τοῦ Θεμιστοκλέους πρὸς Ἀνδρίους χρηματιζομένου.

6 38 οἵδ' ἔφασαν ἔχειν δύο θεοὺς μεγάλους, πενίαν καὶ ἀπορίαν. Δύσκωφος δυσκώφῳ ἐκρίνετο · ὁ δὲ κριτὴς ἦν πολλῷ τούτων κωφότερος : ἐπὶ τῶν πάνυ γελοίων.

6 40 Δυεῖν ἐπιθυμήσας , οὐδετέρου ἔτυχες : ἐπὶ τῶν ἄγαν πλεονεκτούντων, οἳ διὰ πλεονεξίαν καὶ τὰ ἑαυτῶν ἀποβάλλουσιν. Τὸ δ μετὰ τοῦ ω.

6 41 Δωδεκαμήχανος Κυρήνη : ἐπὶ τῶν παντοδαποῖς καὶ ποικίλοις χρωμένων ἤθεσιν. Δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας : ἐπὶ τῶν δώροις πειθόντων καὶ δωροδοκούντων.

6 43 Δωδωναῖον χαλκεῖον : ἐπὶ τῶν ἀκαταπαύστως καὶ πολλὰ λαλούντων. Δήμων μὲν φησίν, ἐν τῇ Δωδώνῃ πολλοὺς παραλλήλους κειμένους λέβητας, ὅταν τις ἑνὸς ἅψηται, ἐκ διαδοχῆς πάντας ἠχεῖν. Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων δύο φησὶ στύλους εἶναι· καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας, σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν. Ἀρχὴ τοῦ ε στοιχείου. [5]

6 44t

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὸ ε μετὰ τοῦ α. Ἑαυτὸν οὐ τρέφων , κύνας τρέφεις : ἐπὶ τῶν ἀπορούντων μὲν, ἑτέρους δὲ τρέφειν κατεπαγγελλομένων.

6 45t Τὸ ε μετὰ τοῦ γ. Ἐγένετο καὶ Μάνδρωνι συκήνη ναῦς : λέγεται ἐπὶ τῶν παρ' ἀξίαν εὐτυχησάντων· ὁ γὰρ Μάνδρων παρὰ Ἀθηναίοις ναύαρχος ᾑρέθη, ἀνάξιος ὢν τῆς ἀρχῆς· ἡ δὲ συκήνη ναῦς τὸ εὐτελὲς δηλοῖ.

6 46 Ἐγγαστρίμυθος καὶ Πύθων σὺ τυγχάνεις : ἐπὶ τῶν τερατολόγων καὶ θαυματοποιῶν. Σοφοκλῆς στερνόμαντιν τὸν τοιοῦτον φησί. Πλάτων ὁ φιλόσοφος Εὐρυκλέα, ἀπὸ Εὐρυκλέους τοιούτου μάντεως. Ἀριστοφάνης Σφιγξί· μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοια ν . Φιλόχορος δ' ἐν τῇ τρίτῃ περὶ μαντικῆς καὶ γυναῖκας ἐγγαστριμύθους. Ἐγὼ δὲ καὶ σὺ ταυτὸν ἕλκομεν ζυγόν : ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων. [5]

6 48 Ἐγγύην φεύγειν δ ὲ , Θαλῆς Μιλήσιος ηὔδ α . Τὸ ε μετὰ τοῦ δ.

6 49 Ἐδίδαξά σε κυβισᾷν καὶ σὺ βυθίσαι με ζητεῖς : ἐπὶ τῶν κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδόντων. Τὸ ε μετὰ τοῦ ι.

6 50 Εἰ καὶ λύκου ἐμνήσθης : ἐπὶ τῶν ὧν ἂν μνησθῇ τις καὶ εὐθὺς παραγινομένων. Εἰ μὴ δύναιο βοῦν , ἔλαυνε ὄνον : ἐπὶ τῶν μὴ πραττόντων ἃ κατὰ δύναμιν ἔχουσιν, ἀλλὰ τὰ ὑπὲρ αὐτούς.

6 52 Εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθα : ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων. Εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς : ἐπὶ τῶν ἀνόσια ποιούντων· τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην ὁ Σωτάδης εἶπε ταυτί.

6 54 Εἰς τὴν λῆψιν τῶν ἀγγέλων καὶ ὁ Μάρδαρις ἄγγελος : δημώδης καὶ σαφής· ἔοικε τῇ· Τὴν γραῦν εἰς τἀκρωτήριον ἀϊτανόφρυν καλοῦσιν. Εἷς ἀνὴρ οὐ πάν θ ' ὁρ ᾷ .

6 56 Εἰς ὕδωρ γράφεις τὸν ἔρωτα : ἐπὶ τῶν ἀφανιζόντων τινὰ χρηστά. Εἰς οὐρανὸν πτύεις : ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων· ἢ ἐπὶ τῶν ὑβριζόντων εἰς ἐξαίρετα· ἔστι δὲ ὅμοια τῇ, Πρὸς κέντρα λακτίζει ν .

6 58 Εἰ μὲν θεὸς ἐστί ν , οὐ φοβούμενα · οὐδὲν γὰρ ἀδικοῦμε ν . εἰ δ ' ἄνθρωπος , οὐχ ἡμῶν γε κρείσσων : εἴρηται πρὸς τοὺς φοβοῦντας. Εἱλώτων ἀτιμότερος : παρὰ Λακεδαιμονίων οἱ νόθοι καὶ οἱ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι Εἵλωτες ἐκαλοῦντο ἀπὸ τοῦ Ἕλους.

6 59 Ἕλος δὲ πόλις ἐν Πελοπονήσῳ. Εἰς ἀρχαίας φάτνας : ἐπὶ τῶν ἀπολαύσεως τινὸς ἐκπεσόντων, εἶτα πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐλθόντων δίαιταν.

6 61 Εἰ μετρήσεις τὴν σαυτοῦ σκιά ν , οὐκ ἂν εὕροις αὐτὴν μείζονα γεγενημένην ἢ πρὶν νικᾶν : ἐπὶ τῶν ἡττωμένων καὶ αὖθις ἐπαπειλούντων. Φιλίππου γὰρ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην σκληροτέραν ἐπιστολὴν τῷ Ἀρχιδάμῳ γράψαντος ἀντέγραψε τὸ παροιμιῶδες τοῦτο λόγιον. Εἰς θεῶν ὦτα ἦλθεν : ἐπὶ τῶν οὐ λανθανόντων ἐφ' οἷς ἔπραξαν. [5]

6 63 Εἷς θεὸς καὶ πολλοὶ φίλοι : παρόσον οἱ ἀγαθοὶ φίλοι, καὶ ἔτι γε μᾶλλον εἰ πολλοὶ εἰσί, δύνανται βοηθῆσαι τῷ δεομένῳ ἶσα καὶ τῷ θεῷ. Εἰς κόλπον πτύω : τοῦτο ἐν ἴσῳ τῷ· μεγαλοῤῥημονῷ εὐλαβούμενος.

6 65 Εἰς κόρακα ς , εἰς σκότος, εἰς ὄλεθρον, εἰς ἀνηλίους πύλας. Εἰς Κυνόσαργες : εἴρηται ἐπὶ ὕβρει καὶ ἀραῖς.

6 66 ἔστι δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς παῖδας ἔταττον. ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος. Εἶ τ ' ἂν τί λέγεις ῥήτωρ ὢν φιλοσόφ ῳ ; τούτῳ φιλόσοφος ῥήτορος διαφέρει ὅτι ὁ μὲν φιλόσοφος περὶ τὰ εἴδη τῶν πραγμάτων διατρίβει, ὁ δὲ ῥήτωρ περὶ τὰ μετέχοντα.

6 67 οἷον ὁ μὲν, τί ἐστιν ἀδικία. ὁ δέ, ὡς ἄδικος ὁ δεῖνα. καὶ ὁ μὲν, τί ἡ τύραννις· ὁ δὲ, οἷον τί ὁ τύραννος. Εἰς λατομίας : Φιλόξενος ὁ θυραμβοποιὸς οὐκ ἀνεχόμενος τῶν Διονυσίου τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τυράννου ποιημάτων ὡς φαύλων, ποτὲ πέμψαντος αὐτὸν εἰς λατομίας τοῦ Διονυσίου, τὸ δὲ ὕστερον αὐτὸς ἑκὼν ἐξανέστη· τοῦ δὲ ἐπερομένου τὴν αἰτίαν, εἰπεῖν, ὡς κρεῖττον εἶναι τὴν ἐκεῖ διατριβὴν, ἢ τῶν αὐτοῦ ποιημάτων ἀνέχεσθαι.

6 69 Εἰς Μασαλίαν πλεύσειας : ἐπὶ τῶν θηλυτέρως καὶ μαλακῶς ζώντων καὶ ποικίλαις στολαῖς χρωμένων καὶ μύροις. Εἰς μελίττας ἐκώμασας : ἐπὶ τῶν παρὰ δόξαν κακουμένων ἀθρόως ⁝ Αἱ μέλιτται τὸν βασιλέα αὐτῶν πρᾷον ὄντα καὶ ἥμερον καὶ ὁμοῦ τι καὶ ἄκεντρον, ὅταν αὐτὰς ἀπολίπῃ, μεταθέουσί τε καὶ διώκουσι φυγάδα τῆς ἀρχῆς ὄντα.

6 70 ῥινηλατοῦσι δὲ αὐτὸν ἀποῤῥήτως, καὶ ἐκ τῆς ὀσμῆς τῆς περὶ αὐτὸν αἱροῦσι, καὶ εἰς τὴν βασιλείαν αὐτῶν ἐπανάγουσιν, ἑκοῦσαί τε καὶ βουλόμεναι καὶ τοῦ τρόπου ἀγάμεναι. Πείσανδρον δὲ ἐξήλασαν Ἀθηναῖοι, καὶ Συρακούσιοι Διονύσιον, τυράννους ὄντας. μέλει δὲ τῷ τῶν μελισσῶν βασιλεῖ κεκοσμῆσθαι τὸ σμῆνος τὸν τρόπον τοῦτον. τὰς μὲν προστάττει ὑδροφορεῖν· τὰς δὲ ἔνδον κηρία διαπλάττειν, τήν γε μὴν τρίτην μοῖραν ἐπὶ τὴν νομὴν προϊέναι. εἶτα μέντοι ἀμείβουσι τὰ ἔργα ἐκ περιόδου· κάλλιστα δέ πως ἀποκριθεῖσαι, φιλοῦσιν οἰκουρεῖν αἱ πρεσβύταται· αὐτὸς δὲ ὁ βασιλεὺς, ἀπόχρη οἱ τούτων πεφροντικέναι καὶ νομοθετεῖν ὅσα προεῖπον κατὰ τοὺς μεγάλους ἄρχοντας· ἐὰν δὲ ᾖ λῷον ταῖς μελίτταις μεταστῆναι, τηνικαῦτα καὶ ὁ ἄρχων ἀπαλλάττεται· καὶ ἐὰν μὲν ἔτι νέος ᾖ, ἡγεῖται, αἱ δὲ λοιπαὶ ἄγονται· ἐὰν δὲ πρεσβύτερος, φοράδην ἔρχεται, κομιζουσῶν αὐτὸν μελιττῶν ἄλλων. αἱ δὲ μέλιτται ὑπὸ συνθήματος εἰς ὕπνον τρέπονται. ὅταν δὲ δοκῇ καιρὸς εἶναι καθεύδειν, ὁ μὲν βασιλεὺς μιᾶ προστάττει ὑποσημῆναι καταδαρθάνειν· καὶ ἡ μὲν πεισθεῖσα τοῦτο ἐκήρυξεν, αἱ δὲ εἰς κοῖτον τρέπονται. ἕως οὖν περίεστιν ὁ βασιλεύς, εὐθηνεῖται τὸ σμῆνος· καὶ οἱ μὲν κηφῆνες ἀγαπητῶς ἐν τοῖς ἑαυτῶν κυττάροις ἡσυχάζουσιν, αἵ τε πρεσβύτεραι διαιτῶνται ἰδίᾳ καὶ αἱ νέαι ἰδίᾳ καὶ καθ’ ἑαυτὸν ὁ βασιλεύς. ἐπειδὰν δὲ ὁ βασιλεὺς ἀπόληται, ἀταξίας καὶ ἀργίας μεστὰ πάντα· βίον δὲ καθαρὸν ζῇ μέλιττα καὶ ζῴου οὐδενὸς ἂν σπάσαιτο πρότερον· καὶ οὐ δεῖται Πυθαγόρου συμβούλου· τὸν δὲ χρισάμενον μύρῳ διώκει ὡς πολέμιον. οἶδε δὲ καὶ τὸν προσελθόντα ἐξ ἀκολασίας καὶ ὁμιλίας τῆς πρός τινα καὶ διώκει δὲ ἐκεῖνον οἷα δήπου ἔχθιστον. λέγει δὲ καὶ Ἀριστοτέλης, ὅτι καὶ ἵππῳ ἐντυγχάνουσαί ποτε πρὸς τῷ σμήνει, ἀπέκτειναν αὐτὸν ἐπιθέμεναι κατὰ τὸ καρτερόν· καὶ καθ’ ἡμᾶς τοῦτο πολλάκις γέγονε. κρατοῦσι δὲ αὐτῶν οἱ φρῦνοι καὶ οἱ βάτραχοι· ὅστις δὲ τούτων ἐκράτησε, Καδμείαν, ὥς γε εἰπεῖν, τὴν νίκην ἐνίκησε· παιόμενοι γὰρ καὶ κεντούμενοι κακῶς ἀπαλλάττουσιν. Εἰς οὐρανὸν τοξεύεις : ἐπὶ τῶν ἀδυνάτων.

6 72 Εἰς πῦρ ξαίνειν : ἐπὶ τῶν καθ’ ἑαυτῶν τι πραττόντων ἢ λεγόντων. Εἰς τέφραν γράφειν : ἐπὶ τῶν ἀδυνάτων.

6 74 Εἰς τὸ δέον ἀπώλεσα : Περικλῆς δῶρα δοὺς τοῖς πολεμίοις τοῖς περὶ Κλεανδρίαν, ἵνα μὴ δῃώσωσι τὴν χώραν, δεκαπέντε τάλαντα, ἀνήνεγκε τὸ ἀνάλωμα τοῖς Ἀθηναίοις οὕτω πως ἀπογράψας, Εἰς τὸ δέον ἀπώλεσ α . Εἰς Ἄρειον πάγον ἐκρίθη : ἐπὶ τῶν ἄγαν δικαίων τυχόντων δικαστῶν.

6 75 δικαστήριον ἦν ἐν Ἀθήναις· ἦσαν δὲ Ἀθήνησι δύο βουλαί· ἡ μὲν τῶν πεντακοσίων καθ’ ἕκαστον ἐνιαυτὸν κληρουμένη βουλεύειν, ἡ δὲ εἰς μίαν τῶν Ἀρεοπαγιτῶν. ἐδίκαζε δὲ τὰ φονικά, καὶ τὰ ἄλλα πολιτικὰ διῴκει σεμνῶς. ἐκλήθη δὲ Ἄρειος πάγος, ἤτοι ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον· Ἄρειος δέ, ἐπεὶ τὰ φονικὰ δικάζει, ὁ δὲ Ἄρης ἐστὶ τῶν φόνων· ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ ἐν τῇ πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιῤῥοθίου δίκῃ, ὅτε ἀπέκτεινεν αὐτόν. Εἰ τυρὸν εἶχον , οὐκ ἂν ἐδεόμην ὄψου : ἐπὶ τῶν ὀλίγοις ἀρκουμένων καὶ ἐγκρατῶν.

6 77 Εἰ μὴ σὺ λέγεις , ἀπὸ τοῦ δέρματος φαίνῃ : ὅτι τοὺς ψευδομένους αἱ πράξεις ἐλέγχουσιν. Εἰ μὴ πατὴρ ἦσθα : λείπει τὸ, εἶπον ἄν σοι οὐκ εὖ φρονεῖν.

6 78

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρὰ Σοφοκλεῖ. Εἰς τετρημένον πίθον ἀντλεῖς : τάσσεται ἐπὶ τῶν εἰς κενεὸν ποιούντων· καὶ γὰρ μυθεύουσιν, ἐν ᾄδου τοὺς ἀσεβεῖς εἰς πίθον τετρημένον ἀντλεῖν.

6 79 πάσχουσι δὲ περὶ τοῦτον αἱ τῶν Ἀμύντου ψυχαί. καὶ κόραι δὲ ἠπεδαναί, αἳ καὶ Δαναΐδες καλοῦνται, ἀντλοῦσαι ὕδωρ εἰς τὸν πίθον. Εἰς ὕδωρ γράφειν : ἐπὶ τῶν ἀχρήστων καὶ ὧν οὐκ ἔστι φρόντις καὶ ἀπίστων.

6 81 Εἰς Σκῶλον μή τ ’ αὐτὸς ἰέναι , μή τ ’ ἄλλο ἕπεσθαι : παραινετική· τραχεῖα γὰρ ἡ Σκῶλος καὶ δύσβατος. Εἰς Τροφωνίου μεμάντευται : ἐπὶ τῶν σκυθρωπῶν καὶ ἀγελάστων· οἱ γὰρ καταβαίνοντες εἰς Τροφωνίου, λέγονται τὸν ἑξῆς χρόνον ἀγέλαστοι εἶναι.

6 82 ὁ δὲ Τροφώνιος ἔχων τὴν κεφαλὴν τοῦ ἀδελφοῦ αὐτοῦ Ἀγαμήδους, καὶ διωκόμενος ὑπὸ τοῦ Αἰγαίου, εὐξάμενος ἐς χάσμα ἐνέπεσεν, οὗ δὴ καὶ μαντεῖον ἐστίν. Εἰς πάγας ὁ λύκος : ἐπὶ τῶν ἁρπαζόντων μὲν, κατασχεθέντων δέ.

6 84 Εἰς κυνὸς πυγὴν ὁρᾷ καὶ τριῶν ἀλωπέκων : ἐπὶ τῶν ὀφθαλμιώντων. Εἰς Τροιζῆνα βαδίζεις : ἐπὶ τῶν ἐχόντων σπάνιν γενείων.

6 85 Πώγων γάρ ἐστι λιμὴν Τροιζήνιος· σκώπτοντες οὖν τοὺς κακογενείους, ἔλεγον, Βάδιζε εἰς Τροιζῆν α . Εἴληφεν ἡ παγὶς τὸν μῦν : ἐπὶ τῶν ἀξίως ἑαλωκότων.

6 87t Τὸ ε μετὰ τοῦ κ. Ἐκδεδαρμένον δέρεις : ἐπὶ τῶν μάτην πονούντων.

6 88 Ἐκ δυοῖν τρία βλέπεις : ἐπὶ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος οὐκ ὀξυδορκούντων, οὐδὲ εἰλικρινὰς ἐχόντων τὰς αἰσθήσεις. Ἐκ τοῦ εἰσορᾶν γίνεται ἀνθρώποις ἐρᾶ ν .

6 90 Ἐκ γεύματος γινώσκω : ὁμοία τῇ · ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα · καὶ τῷ, Αἰθίοπι ἡ ὄψις · καί, ἐκ τοῦ καρποῦ τὸ δένδρο ν . Ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα δείκνυται : ἐπὶ τῶν ἀπὸ μέρους καταλαμβανόντων τὸ ὅλον.

6 92 Ἐκ τῶν αὐτῶν τραγῳδία γίνεται καὶ κωμῳδία γραμμάτων : ἐπὶ τῶν δυναμένων ἐξ ἑνός τινος δύο ἐναντία ποιῆσαι. Ἐκ τῶν ὀνύχων τὸν λέοντα : ὁμοία τῇ προειρημένῃ.

6 94 Ἐκκέκοφ θ ’ ἡ μουσική : φασὶν ὅτι τῶν παλαιῶν ἐν τοῖς συμποσίοις φιλολόγῳ ζητήσει χρωμένων οἱ ὕστερον τὰς μουσουργοὺς καὶ κιθαριστρίας καὶ ὀρχηστρίας ἐπεισήγαγον· ὅθεν καὶ τὴν καινοτομίαν τινὲς αἰτιώμενοι τῇ παροιμίᾳ ἐχρῶντο. Ἐκ παντὸς ξύλου , εἰπὲ τὸ πλῆρες : ὅτι ἐκ παντὸς ξύλου κύφων ἂν γένοιτο· λέγεται δὲ ἐπὶ τῶν εἰς εἶδος μὲν εὐτελῶν, εἰς δὲ χρείας ἀναγκαίων.

6 96 Ἐκπερδικῆσαι : τὸ διολισθῆναι καὶ ἀποδρᾶναι, μεταφορικῶς ἀπὸ τῶν περδίκων· πανοῦργον γὰρ τὸ ζῷον καὶ διαδιδράσκον τοὺς θηρευτάς. λέγεται δὲ ἐπὶ τῶν διαδιδρασκόντων ⁝ Ὁ δὲ συροπέρδιξ γίνεται περὶ τὴν Ἀντιόχειαν τῆς Πισιδίας, καὶ σιτεῖται καὶ λίθους· μακρότερος δέ ἐστι καὶ πέρδικος, καὶ μέλας τὴν χρόαν, πυῤῥὸς τὸ ῥάμφος. οὐχ ἡμεροῦται δὲ κατὰ τὸν ἄλλον, οὐδὲ γίνεται τιθασὸς, ἀλλ’ ἄγριος εἰς τὸ ἀεὶ διαμένει. ἔστι δὲ οὐ μέγας, βρωθῆναί τε ἡδίων τοῦ ἑτέρου, καὶ τὴν σάρκα πως δοκεῖ πυκνότερος. Ἐκ τῶν γειτόνων ἔχουσι τὸ παράδειγμα : ἐπὶ τῶν διαφανῆ καὶ γνωριμώτατα δρώντων.

6 98 Ἕκαστος αὑτοῦ τὸ βδέμα μήλου γλύκιον ἡγεῖται : δημώδης. Ἐκ λύκου στόματος : ἐπὶ τῶν ἀνελπίστως λαμβανόντων.

6 100 Ἐκ τριχὸς κρέμαται : ἐπὶ τῶν σφόδρα κινδυνευόντων· ὅμοιον τῷ· Ἐπὶ ξυροῦ ἀκμῇ ἕστηκε ν . Τὸ ε μετὰ τοῦ λ.

7 1 Ἐλεύθεραι αἶγες ἀρότρων : ἐπὶ τῶν βάρους τινὸς ἢ κακῶν ἀπηλλαγμένων. Ἐλευθεριώτερος Σπάρτης : διὰ τὸ ἀνυπότακτον καὶ γενναῖον φρόνημα· διὸ οὐδὲ τείχη περιεβάλλοντο νόμοις παιδευόμενοι· ἀλλ’ οὐδὲ ἠθέλησαν ἐκ μάχης ἡττημένοι ὑποστρέψαι οὐδὲ ἐτυραννήθησαν.

7 3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἕλκος ἔχω τὸν ἔρωτα· ῥέει δέ μοι ἕλκεος ἰχώρ. Ἐλέφαντος οὐδὲν διαφέρεις : ἐπὶ τῶν ἀναισθήτων· παρόσον καὶ τὸ ζῷον τοιοῦτον ⋮ Ἐλέφαντος πωλίῳ περιτυγχάνει λευκῷ πωλευτὴς Ἰνδός, καὶ παραλαβὼν ἔτρεφεν ἔτι νεαρὸν καὶ κατὰ μικρὰ ἀπέφηνε χειροήθη, καὶ ἐπωχεῖτο αὐτῷ· ὁ τοίνυν βασιλεὺς τῶν Ἰνδῶν πυθόμενος, ᾔτει λαβεῖν τὸν ἐλέφαντα.

74 ὁ δὲ ὡς ἐρώμενον ζηλοτυπῶν καὶ μέντοι περιαλγῶν, εἰ ἔμελλε δεσπόσειν αὐτοῦ ἄλλος, οὐκ ἔφατο δώσειν, καὶ ᾤχετο ἀπιὼν ἐς τὴν ἔρημον, ἀναβὰς τὸν ἐλέφαντα· ἀγανακτεῖ ὁ βασιλεύς, καὶ πέμπει κατ' αὐτοῦ τοὺς ἀφαιρησομένους, καὶ ἅμα καὶ τὸν Ἰνδὸν ἐπὶ τὴν δίκην ἄξοντας· ἐπεὶ δὲ ἧκον, ἐπειρῶντο πεῖραν προσφέρειν· οὐκοῦν καὶ ὁ ἄνθρωπος ἔβαλλεν αὐτοὺς ἄνωθεν, καὶ τὸ θηρίον ὡς ἀδικούμενον συνημύνετο· καὶ τὰ μὲν πρῶτα ἦν τοιαῦτα. ἐπεὶ δὲ βληθεὶς ὁ Ἰνδὸς κατώλισθε, περιβαίνει μὲν τὸν τροφέα ὁ ἐλέφας κατὰ τοὺς ὑπερασπίζοντας ἐν τοῖς ὅπλοις, καὶ τῶν ἐπιόντων πολλοὺς ἀπέκτεινε, τοὺς δὲ ἄλλους ἐτρέψατο· περιβαλὼν δὲ τῷ τροφεῖ τὴν προβοσκίδα, αἵρει τε αὐτὸν καὶ ἐπὶ τὰ αὔλια κομίζει, καὶ παρέμεινεν ὡς φίλῳ φίλος πιστός. Ὦ ἄνθρωποι πονηροὶ καὶ περὶ τράπεζαν μὲν καὶ τηγάνου ψόφον ἀεὶ ἐπ' ἄριστα χορεύοντες, ἐν δὲ τοῖς κινδύνοις προδόται. Ἐλέφαντα ἐκ μυίας ποιεῖς : ἐπὶ τῶν τὰ ἐλάχιστα ἐπαιρόντων τῷ λόγῳ καὶ μεγάλα ποιούντων ⋮ Οἱ νέοι ἐλέφαντες καὶ τροφῆς ἀφίστανται τοῖς πρεσβυτέροις, καὶ γήρᾳ παρειμένους θεραπεύουσιν αὐτούς, καὶ κινδύνων ῥύονται, καὶ εἰς ὄρυγμα ἐμπεσόντας οἵδε ἀνάγουσι φρυγάνων τινὰς ἀγκαλίδας καὶ φακέλλους ἐμβαλόντες, οἷσπερ οὖν ὡς ἀναβαθμοῖς χρώμενοι ἐκεῖνοι εἶτα ἀνίασι γήρᾳ βαρεῖς ὄντες.

75 ποῦ δὲ ἠλόησε πληγαῖς πατέρα ἐλέφας; πῶς δὲ ἀπεκήρυξεν ὁ πατὴρ ὁ ἐν τούτοις τὸν υἱόν; ὦ Σόλωνες καὶ Χαρῶνδαι καὶ Ζάλευκοι ⋮ Τῶν μὲν οὖν κινδύνων καὶ πόνων οἱ νέοι κατάρχονται, ποτοῦ δὲ ἄρα καὶ τροφῆς ἀφίστανται τοῖς πρεσβυτέροις. γήρᾳ δὲ παρειμένον ἐλέφαντα ἢ νόσῳ κατειλημμένον οὐκ ἄν ποτε οἱ συναγωνιζόμενοι καταλίποιεν, ἀλλὰ παραμένουσι, καίτοι τῶν θηρῶν ἐγκειμένων, καὶ πρότερόν γε τὴν ψυχὴν ἀπολίποιεν ἢ τὰ τέκνα. Λαίνιλα δέ τις πρεσβῦτις ἐρασθεῖσα οἰκέτου δριμέος αὐτῷ συνεκάθευδε, κηλῖδα δὲ ἄρα παισὶ τοῖς ἐξ αὐτῆς περιῆπτεν· οἱ δὲ εὐγενεῖς ἦσαν, καὶ ἐς τὴν βουλὴν τὴν τῶν Ῥωμαίων ἐτέλουν ἐκ πατέρων. οἱ αἰδούμενοι τῇ μητρὶ ἤχθοντο τοιαῦτα δρώσῃ καὶ πρᾴως ὑπερινουθέτουν· ἡ δὲ κυμαίνουσα ἐκ τῆς ἐπιθυμίας καὶ τὸν ἔρωτα ἐπίπροσθεν τῶν υἱέων ποιησαμένη καταγορεύει αὐτῶν πρὸς τὸν τότε ἄρχοντα, ὡς ἐπιβουλεύοιεν αὐτῷ· ὁ δὲ ἔχων εἰς διαβολὰς τὸ οὖς ῥᾴδιον, καὶ ὑπόπτης ὢν καὶ δειλός, ἐπίστευσε. καὶ οἱ μὲν οὐδὲν ἀδικοῦντες ἀπέθνησκον, ὁ δὲ ἆθλον τοῦ κατειπεῖν ἠνέγκατο, δούλῳ συγκαθεύδειν ἀδεῶς. Πατρῷοι θεοὶ, καὶ Ἄρτεμι λοχεία, Εἰλείθυιαί τε Ἥρας θυγατέρες, τί οὖν ἂν ἔτι Μήδειαν εἴποιμεν τὴν Κόλχην ἢ Πρόκνην τὴν Ἀτθίδα τῶν καθ' ἡμᾶς παθῶν μνημονεύσαντες; ⋮ Ἐλέφαντι ἡμέρῳ πωλευτὴς ἦν, καὶ εἶχε γυναῖκα ἀφηλικεστέραν μέν, πλουσίαν δέ. οὐκοῦν ἑτέρας ἐρῶν, ταύτην μὲν ἀποπνίγει, καὶ τῆς τοῦ ἐλέφαντος φάτνης κατορύττει πλησίον ὁ θερμόβουλος ἄνθρωπος, ἄγεται δὲ τὴν ἄλλην. ἐνταῦθα οὖν ὁ ἐλέφας τῇ προβοσκίδι λαβόμενος τὴν νεωστὶ ἀφιγμένην ἄγει τῆς νεκροῦ πλησίον καὶ τοῖς κέρασιν ἀνορύξας καὶ γυμνώσας τὸ σῶμα, ἃ εἰπεῖν οὐκ ἠδύνατο, ταῦτα ἐπεδείκνυε δι' αὐτῶν τῶν ἔργων, τὴν γυναῖκα τὸν τρόπον τοῦ γήμαντος αὐτὴν ἐκδιδάσκων ὁ μισοπόνηρος ἐλέφας ⋮ Ἀκμὴ ἐλέφαντος ἑξήκοντα ἔτη γεγονέναι· κρυμῷ δὲ ὁμιλεῖν μήμικος ἐστί. διατείνει δὲ τὸν βίον καὶ εἰς διπλῆν ἑκατοντάδα. Ἕλκων ἐ φ ' ἑαυτὸν ὥσπερ ὁ καικίας νέφος : ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς κακὰ ἢ καλά.

77 Ἔλαχες τὸ μ' : ἐπὶ τῶν εὐτυχησάντων. Διονύσιος γὰρ ὁ πρεσβύτερος, κληρουμένων κατὰ γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ μ, πρὸς τὸν εἰπόντα· μωρολογεῖς Διονύσιε, μοναρχήσω μὲν οὖν, εἶπε· καὶ δημηγορήσας ᾑρέθη στρατηγὸς εὐθὺς ὑπὸ τῶν Συρακουσίων. Ἐλέφας μῦν οὐκ ἀλεγίζει : ἐπὶ τῶν τὰ μικρὰ καὶ φαῦλα ὑπερορώντων ⋮ Λόγος τίς ἐστιν, ἐλέφαντα μὴ πρότερον πίνειν, πρὶν ἂν ὑποθολώσῃ τῇ προνομαίᾳ τὰ νάματα· τὸ δ' αἴτιον, ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μορμολύττεται τὴν ἑαυτοῦ σκιὰν ἐν ὕδατι ὁ ἐλέφας θεώμενος· διὸ καὶ τοὺς Ἰνδοὺς ἐπιτηρεῖν ἀσέληνον νύκτα, ὁπηνίκα διαπορθμεύωσι, τουτὶ δεδιότες τὸ ζῷον.

7 9 Ἕλκος γὰρ πέλει τῆς ἀληθείας φθόνος : ἀπὸ γνώμης. Τὸ ε μετὰ τοῦ μ.

7 10 Ἔμβαρος εἰμί : ἦν πρότερον ὁ Πειραιεὺς νῆσος· ὅθεν καὶ τοὔνομα εἴληφεν, ἀπὸ τοῦ διαπερᾶν· οὗ τὰ ἄκρα Μούνυχος κατασχὼν Μουνυχίας Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. ἄρκτου δὲ γενομένης ἐν αὐτῷ καὶ ὑπὸ τῶν Ἀθηναίων ἀναιρεθείσης, λιμὸς ἐπεγένετο· οὗ τὴν ἀπαλλαγὴν ὁ θεὸς ἔχρησεν, ἄν τις τὴν θυγατέρα θύσῃ τῷ θεῷ. Ἔμβαρος δὲ μόνος ὑποσχόμενος ἐπὶ τῷ τὴν ἱερωσύνην αὐτοῦ τὸ γένος διὰ βίου ἔχειν, διακοσμήσας αὐτοῦ τὴν θυγατέρα ἔθυσεν· ὅθεν καὶ εἰς παροιμίαν περιέστη. τάττεται δὲ ἐπὶ τῶν παραπαιόντων καὶ μεμηνότων. Ἐμὲ δὲ Ἄνυτος καὶ Μέλητος ἀποκτεῖναι μὲν δύνανται · βλάψαι δὲ οὐ δύνανται : Σωκράτους τὸ λόγιον· λέγεται δὲ ἐπὶ τῶν βλαπτόντων τινὰς τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ λυμαινομένων.

7 12 Ἐμποδών ἐστι τὸ πρᾶγμα : ἐπὶ τῶν προχείρων καὶ εὐχερῶν· ἐχρήσατο δὲ ταύτῃ τῇ λέξει Θουκυδίδης ἐν ὀγδόῃ· τὰς ἐμποδὼν αἰτίας ἐπισκοπεῖ ν , πορρωτέρω δὲ μηδὲν ἀπορέγεσθαι ταῖς διανοίαις · ἤτοι προχείρως. Λυκοῦργος δὲ ἐν τῷ κατὰ Λυκόφρονος ἀντὶ τοῦ φανερόν· Πλάτων δὲ ἀντὶ τοῦ ἐν μέσῳ· Ἰσαῖος δὲ ἀντὶ τοῦ ὑπόγυον καὶ ἐν χερσί· φησὶ γὰρ ἐν τῇ ὑπὲρ Εὐμαθοῦς εἰς ἐλευθερίαν ἀφαιρέσει· Ἀλλὰ τὸ προϊζό ν , ὦ ἄνδρες Ἀθηναῖοι · τουτὶ γὰρ παντελῶς ἐμποδὼν εἶναι · Ἐχρήσατο δὲ Ἱεροκλῆς ἀντὶ τοῦ ἐμποδίου· καὶ ἄλλοι. φησὶ γὰρ ἐν δευτέρᾳ Φιλοσοφουμένων παρὰ τῶν φιλοσόφων· τίς γὰρ αὐτῆς οὐχὶ καὶ ἔγημα ι , καὶ παῖδας ἀνείλετ ο , καὶ οὐσίας ἐπεμελήθη μηδενὸς ἐμποδὼν ὄντο ς ; Ἐμπεδοκλέους ἔχθρα : ἐπὶ τῶν δυσοργήτων.

7 13 Ὤιμην δέ, φησίν, ἐγὼ τοιαύτῃ φιλίᾳ συνηρμόσθαι σ ε , ὥστε μή δ ʼ ἂν τὴν Ἐμπεδοκλέους ἔχθραν ἰσχῦσαι διαστῆσα ι . Ἐμὲ μὲν , ἂν μανῶσι , σὲ δὲ ἂν σωφρονῶσι : λείπει τὸ, ἀποκτενοῦσιν.

7 14 ἤτοι ἐμὲ μὲν ἀδίκως, σὲ δὲ δικαίως. Ἔμπροσθεν κρημνός , ὄπισθεν λύκοι : ἐπὶ τῶν ἐν μέσῳ δύο κακῶν ἀφύκτων περιπαρέντων.

7 16t Τὸ ε μετὰ τοῦ ν. Ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ : ἐπὶ τῶν εὐτελῶν, τῶν διὰ περιπέτειάν τινα τιμῆς ἀξιουμένων.

7 16 τοιαύτη δέ ἐστι καὶ ἡ λέγουσα· Ἐν γὰρ ἀμηχανίῃ καὶ καρκίνος ἔμμορε τιμῆ ς . καί· Ἐν ἀμούσοις καὶ Κόροικος φθέγγετα ι . Ἐν Πυθίου χέσαι : οἷον κινδυνεῦσαι.

7 17 Πεισίστρατος γὰρ ὁ τύραννος ποιῶν νεὼν, εὑρών τινα ἀποπατοῦντα μέτοικον, ἀπήγαγε· προσέγραψε γὰρ μηδένα ἀποπατῆσαι. Ἔνεστι κἀν μύρμηκι χολή : παρεγγυᾷ μηδὲ τῶν μικρῶν καταφρονεῖν ἐν τῷ ἀμφισβητεῖν.

7 19 Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις : ἐπὶ τῶν μὴ καθʼ ὥραν τοῖς ἀναγκαίοις χρωμένων. Ἑνὸς χανόντος μετέσχηκεν ἅτερος : αὐτοδίδακτος.

7 21 Ἑνὸς φιλίη ξυνετοῦ κρέσσων ἀσυνέτων πάντων : ἐκ Δημοκράτους ἀποφθεγμάτων. Ἔν θ ʼ οὔτε μίμνειν ἀνέμους , οὔ τ ʼ ἐκπλεῖν ἐᾷ : ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων τοῦτο λέγεται.

7 22 φησὶ δὲ αὐτὸ παρʼ Αἰσχύλῳ ὁ Φιλοκτήτης. Ἐν τοῖς τόποις τῶν τυφλῶν Λάμων βασιλεύει : ἑτερόφθαλμος γὰρ ἦν.

7 24 Ἐν πίσσῃ τήρησον τὴν καρδίαν : ἀντὶ τοῦ· γενοῦ ἀνδρεῖος. Ἐν Καρὶ τὸν κίνδυνον : ἐπὶ τῶν ἐν ἀλλοτρίοις κινδυνευόντων.

7 26 Ἐν μύρτου κλωνὶ τὸ ξίφος κρατήσω : ἐπὶ τῶν ποιουμένων σύνθημά τι κατὰ τινός· ὁ γὰρ Ἁρμόδιος καὶ Ἀριστογείτων ἐν μύρτοις ῥίψαντες τὸ ξίφος, Ἵππαρχον τὸν τύραννον ἀπέκτειναν. Ἐν γῇ πένεσθαι μᾶλλον , ἢ πλουτοῦντα πλεῖν : παραινετική.

7 28 Ἐντὶ καὶ ἄλλοι πονηροί· οὐκ ἐγὼ μόνα κόλουρις· ἐντὶ καὶ ἄλλαι ἀλώπεκες. Ἐν παισὶ μὲν γέρων , ἐν δὲ γέρουσι παῖς : ἐπὶ τῶν παλινβόλων· οἱ ἀντίτεχνοι τοῦ Ἑρμογένους ἑπτακαίδεκα ἐτῶν ὄντος, ὅτε τὴν ῥητορικὴν συγγράφειν ἐπεχείρησε, τρίτου δὲ καὶ εἰκοστοῦ ὅτε ἐξελάθετο, τοῦτ᾽ εἶπον τὸ παροιμιῶδες λόγιον.

7 30 Ἐν Σπάρτῃ μόνῃ λυσιτελεῖ γηράσκειν : παρόσον οἱ Λακεδαιμόνιοι μεγάλως ἐτίμων τοὺς γέροντας. Ἐν Σάμῳ κομήτης : ἐπὶ τῶν οὐδὲν χάριεν λεγόντων.

7 31 οἱ γὰρ οἰκοῦντες ἐκεῖσε πρὸς χοροὺς ἐπιτήδειοι, οὐ πρὸς ἄλλο τι χρήσιμοι. Ἐν πίθῳ τὴν κεραμίαν μανθάνειν : ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων ἢ τῶν τελευταίων.

7 33 Ἐν τῷ μέρει τις καὶ τὸ πῦρ σκαλευσάτω : ἐπὶ τῶν εἰς κοινὸν μὴ τὰ ἶσα παρεχομένων. Ἐν Παλλαδίῳ ἐκρίθη : δικαστήριον ἐν Ἀθήναις, ἐν ᾧ οἱ Ἐφέται φόνου ἑκουσίου ἐδίκαζον· Ἀργεῖοι γὰρ ἀπὸ Ἰλίου πλέοντες, ἡνίκα προσέσχον Φαλήροις, ὑπὸ Ἀθηναίων ἀγνοούμενοι ἀνῃρέθησαν· ὕστερον δὲ Ἀκάμαντος γνωρίσαντος καὶ τοῦ Παλλαδίου εὑρεθέντος, κατὰ χρησμὸν αὐτόθι τὸ δικαστήριον ἀπέδειξαν, ὡς Φανόδημος.

7 34 Κλειτόδημος δὲ φησίν, Ἀγαμέμνονος σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήνησι, Δημοφῶντα ἁρπάσαι καὶ πολλοὺς τῶν διωκόντων ἀνελεῖν· τοῦ δὲ Ἀγαμέμνονος δυσχεραίνοντος, κρίσιν ὑποσχεῖν ὑπὸ ὀκτὼ Ἀθηναίων καὶ ὀκτὼ Ἀργείων, οὓς ἐφέτας κληθῆναι, ὅτι ἔφεσις παρ᾽ αὐτῶν οὐ δύναται εἰς δικαστήριον ἄλλο γενέσθαι· ἢ ὅτι ἐπὶ αἵματι ἐδίκαζον· ἢ διὰ τὸ παρ᾽ ἀμφοτέρων, Ἀργείων καὶ Ἀθηναίων, ἀφεθῆναι αὐτοῖς περὶ τῆς κρίσεως. Ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζοντα ι , ἀλλὰ καὶ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν : ἐξ ἀποφθεγμάτοιν δυοῖν· ἑνὸς μὲν ὄντος Εὐρυβιάδου Λακεδαιμονίου, ἑτέρου δ᾽ Ἀθηναίου Θεμιστοκλέους.

7 36 Ἐν τριόδῳ εἰμί : ἐπὶ τῶν ἀδήλων πραγμάτων· ἐπεὶ ὁ ἐν τριόδῳ γενόμενος, οὐκ οἶδε ποίᾳ χρήσεται ὁδῷ. Ἐν οἴνῳ ἀλήθεια : παρόσον οἱ οἴνῳ χρώμενοι τὰ ἀπὸ καρδίας λαλοῦσιν.

7 38 Ἐν ψύλλας δήξει θεὸν ἐπικαλεῖται : ὅτι οὐ δεῖ ἐπ᾽ ἐλαχίστων τοῦ θείου δεῖσθαι καὶ τὸ ὄνομα αὐτοῦ ἐπικαλεῖσθαι. Ἐν Καρὶ τὸν κίνδυνον : τουτέστιν, ἐν ἀλλοτρίοις σώμασι.

7 39 λέγεται δὲ αὕτη ἐπὶ τῶν ἀφειδῶς εἰς τὰ ἑαυτῶν σώματα πολεμούντων, ἀπὸ μεταφορᾶς τῶν Καρῶν· ἐπεὶ, ὥς τινες φασί, πρῶτοι ἐμισθοφόρησαν· ἄλλοι δὲ Ἀρκάδας φασίν· ἐπεὶ δὲ Κᾶρες ἐμισθοφόρουν, προέταττον αὐτοὺς τῶν πολέμων. ἀφ᾽ οὗ καὶ ἡ παροιμία. ἀληθέστερον δ᾽ εἰπεῖν, εἴρηται ἐπὶ τῶν ἐν ἑτέροις καὶ οὐκ ἐφ᾽ ἑαυτοῖς τὰς πολεμικὰς πρωτοπείρας ὑφισταμένων· εἰσάγονται δὲ οἱ Κᾶρες καὶ ὡς εὐτελεῖς, διὰ τὴν μισθοφορίαν· ἀφ᾽ οὗ καὶ Ὅμηρος, τίω δέ μιν ἐν Καρὸς μοίρ ᾳ . Ἐν φρέατι κυνομαχεῖν : ἐπὶ τῶν ἀποφυγεῖν οὐκ ἐχόντων καὶ μοχθηρῷ τινι προσπαλαιόντων.

7 41 Ἔνθα περιττὴ τροφ ὴ , πολλοὶ μύες καὶ γαλα ῖ . Ἐνδυμίωνος ὕπνον καθεύδεις : ἐπὶ τῶν δι᾽ ἔρωτα ὑπνηλῶν.

7 42 ἐπειδὴ ὁ Ὕπνος ἐρασθεὶς μειρακίου Ἐνδυμίωνος ἔτι καὶ νῦν κατέχειν αὐτὸν λέγεται κοιμώμενον. Ἐν πυρὶ βέβηκας : ἢ ἐπὶ αἰσχίστου ἢ ἐπὶ τάχους.

7 44 Ἐν ἅλῳ δρασκάζεις : ἤτοι κρύπτῃ· ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν. Ἐν μέλιτι σαυτὸν καταπάττεις : ἐπὶ τῶν ἡδυπαθεῖν διωκόντων.

7 46 Ἐν σκότει ὀρχεῖσθαι : ἐπὶ τῶν ἀμαρτύρως μοχθούντων. Ἐν νυκτὶ βουλή : ἐπειδὴ ἡ νὺξ παῤῥησίαν δίδωσι βουλεύεσθαι.

7 48 Ἐνδύεται τὴν λεοντῆν : ἐπὶ τῶν μεγάλοις ἐπιχειρούντων. Τὸ ε μετὰ τοῦ ξ.

7 49 Ἐξ ἑνὸς πάν θ ᾽ ὁρᾶν : ἐπὶ τῶν παρορώντων. Ἐξ ἄμμου σχοινίον πλέκεις : ἐπὶ τῶν ἀδυνάτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

7 51 Ἐξ ἴσου δίδου πᾶσιν : ἐπὶ τῶν ὀρθῶς διανεμόντων καὶ δικαίως κρινόντων. Ἐξ Ἐτεοβουταδῶν ἕλκει τὸ γένος : ἐπὶ τῶν εὐγενῶν.

7 52 γένος γὰρ πολὺ καὶ λαμπρὸν ἀπὸ Βούτου. ἀφ’ οὗ οἱ ἱερεῖς καθίσταντο Ἀθήνησιν. Ἐξὸν φυγεῖν μὴ ζήτει δίκην : Ἀλκιβιάδης καλούμενος ἐπὶ κρίσιν ὑπὸ Ἀθηναίων ἀπὸ Σικελίας, ἔκρυψεν ἑαυτὸν, εἰπὼν τοῦτο.

7 53 εἰπόντος δέ τινος, οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σεαυτοῦ κρίσιν; Ἐγὼ μὲν, ἔφη, οὐδὲ τῇ μητρί, μή πως ἀγνοήσασα τὴν μέλαιναν βάλῃ ψῆφον ἀντὶ τῆς λευκῆς. Ἔξω βελῶν καθῆσθαι : παραινετικὴ ἡ παροιμία.

7 55 Ἐξηκεστίδης ἐγένου : ἐπὶ τῶν ὁδοῦ ἀποπλανηθέντων· τοῦτον γὰρ ὡς ξένον διαβάλλουσι καὶ πλάνον· οἱ δὲ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. ἐξαπορήσαντες οὖν τῆς ὁδοῦ καὶ ἀποπλανηθέντες, εἶπον· οὐ δ ’ ἂν Ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδό ν . εἴρηται οὖν ἐπὶ τῶν ἀμηχάνων. Ἐξ οὐρίας πλεῖ τις : καὶ, ἐξ οὐρίας τῷ δεῖνι τὰ πράγματα φέρεται : ἐπὶ τῶν εὐτυχούντων.

7 57 Ἐξ ὀνύχων λέοντα ἔνεστι μαθεῖν , καὶ ἐκ μικρᾶς γεύσεως πηγήν : ἐπὶ τῶν ἐκ μικροῦ τινος μανθανόντων τὸ πᾶν. Ἔξω γλαῦκε : χειμῶνα γὰρ σημαίνει ⁝ Ὁ θαλάσσιος ὁ ἰχθὺς ὁ γλαῦκος τὰ γεννώμενα ἐκ τῆς συννόμου παραφυλάττεται ἰσχυρῶς, ἵνα ἀνεπιβούλευτά τε καὶ ἀσινῆ ᾖ.

7 58 καὶ ἕως μὲν φανερὰ καὶ ἔξω δέους διανήχεται, ὁ δὲ τὴν φρουρὰν οὐκ ἀπολιμπάνει· ἐὰν δέ τι δείσῃ τῶν νηπίων, ὁ δὲ χανὼν εἰσεδέξατο τὸ βρέφος. εἶτα τοῦ φόβου παραδραμόντος τὸν καταφυγόντα ἀνεμεῖ οἷον ἐδέξατο, καὶ ἐκεῖνος πάλιν νήχεται. Τὸ ε μετὰ τοῦ ο.

7 59 Ἔοικα βοῦς ἐπὶ σφαγὴν μολεῖ ν . Τὸ ε μετὰ τοῦ π.

7 60 Ἐπειδὴ τῶν Ταντάλου λίθον τῆς κεφαλῆς ἀπετιναξάμεθα : λέγεται ἐπὶ κινδύνου τινὸς ἐπηρτημένου καὶ παρελθόντος ⁝ Ὁ δὲ Τάνταλος υἱὸς ἦν τοῦ Διός· οὗτος ἠξιώθη τῆς τραπέζης τῶν θεῶν, καὶ ἀξιωθεὶς ἐδημοσίευσε τὰ μυστήρια αὐτῶν· καὶ κολάζεται κόλασιν διὰ τοῦτο τοιάνδε· ἔστιν ἐν τοῖς ὑπὸ γῆν δικαιωτηρίοις ἔχων πέτραν ἐπάνω αὐτοῦ, καὶ κάτω ὕδωρ πολὺ, καὶ βλαστήματα καρποφόρα, καὶ ἤρτηται ὁ λίθος κατ’ αὐτοῦ· ἐὰν οὖν θέλῃ πιεῖν ἐκ τοῦ παρακειμένου ὕδατος, πίπτει ἡ πέτρα ἐπάνω αὐτοῦ καὶ τιμωρεῖται ἐκ τούτου, ὅτι λιμῷ καὶ δίψει τήκεται. ὁρῶν μὲν ἀφ’ ὧν δεῖ φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δὲ διὰ τὴν ἐπηρμένην πέτραν. Ἐπὶ δυοῖν ὁρμεῖ : δηλονότι ἀγκύραιν· λέγεται ἐπὶ τῶν ἀστεμφῶς ἐχόντων.

7 62 Ἐπακτὸς ὅρκος : ὃν ἕτερος ἐπάγει. οἷον βίαιος, οὐκ αὐθαίρετος. Ἐ π ’ ἄκρᾳ γλώττῃ τὸ φιλεῖν ἔχεις : ἐπὶ τῶν λόγῳ μὲν, ἔργῳ δ’ οὐ φιλούντων ἀλλήλους.

7 64 Ἐπὶ κεφαλὴν ὠσθέντα : ἐπὶ τῶν κακῶς πασχόντων. μᾶλλον δ’ ἐπ’ ὀλέθρου· δεινὸν γὰρ τὸ κατὰ κεφαλῆς ὠσθέντα πληγῆναι. Ἐπαύλια δῶρα φέρειν ἥκεις : ἐπὶ τῶν πολλὰ δωρουμένων.

7 65 Ἐπαύλια δὲ καλεῖται τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τῶν γάμων παρὰ τοῦ τῆς νύμφης πατρὸς δῶρα φερόμενα τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐν πομπῆς σχήματι· παῖς γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων καὶ λαμπάδα καιομένην, ἔπειτα μετὰ τοῦτον κανηφόρος· εἶθ’ αἱ λοιπαὶ ἀκολουθοῦσιν ἐφεξῆς, φέρουσαι χρυσία, λεκανίδας, σμήγματα, φορεῖα, κτένας, κοίτας, ἀλαβάστρους, σανδάλια, μυράλιτρα. ἐνίοτε δὲ καὶ τὴν προῖκα ἅμα τῶν νυμφίων φέρουσιν. Ἐπιφυλλίδες ταῦ τ ’ ἐστι καὶ στωμύλματα , χελιδόνων μουσεῖα , λωβηταὶ τέχνης : ἐπὶ τῶν εἰρωνευομένων ἐπὶ σμικροῖς.

7 67 Ἐπὶ τοῖς ὅπλοις ἀκκίζεται : ἐπὶ τῶν ἐπαιρομένων ταῖς ὕβρεσι καὶ τοῖς ἀκκισμοῖς· ἀπὸ Ἀκκοῦς τινός, Σαμίας μωρᾶς οὔσης. Ἐπὶ πόδα ἀναχωρεῖ : ἐπὶ ἀδυνασίᾳ φευγόντων ἢ δειλίᾳ τοὺς κρείσσους.

7 69 Ἐπειοῦ δειλότερος : οὕτως ἔλεγε Κρατῖνος ὁ κωμικός. ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηΐδος φυλῆς, καὶ δειλότερος φανῆναι· καὶ γὰρ ὁ Ἐπειὸς δειλὸς ἦν. Ἐπὶ λειψυδρίῳ μάχῃ : ἐπὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνδρείως ἀγωνιζομένων· τὸ δὲ Λειψύδριον χωρίον ἦν ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν μὲν οἱ φυγάδες τῶν τυράννων· οἱ δὲ Ἀλκμαιονίδαι προέστησαν· ἐκπολιορκηθέντων δ’ αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾔδετο· Αἲ αἲ λειψύδριον προδοσέταιρο ν , οἵους ἄνδρας ἀπώλεσας μάχεσ θ ’ ἀγαθούς γε καὶ εὐπατρίδα ς , ὁπο τ ’ ἔδειξαν οἵων πατέρων ἔσα ν .

7 71 Ἐπὶ πυγὴν τρέχει : ἤτοι ἐς τοὐπίσω. Ἐπὶ καλάμης ἀροῖ : ἐπὶ τῶν εὖ καὶ καλῶς γεωργούντων.

7 73 Ἐπιμενίδειον δέρμα : ἐπὶ τῶν ἀποθέτων· οὗτος γὰρ ὁ Ἐπιμενίδης ἔζησεν ἑκατὸν πεντήκοντα ἔτη, τὰ δὲ ἓξ ἐκάθευδε. Ἔποπος Ἰνδοῦ στοργή : ἐπὶ τῶν ἄγαν φιλούντων προσγενεῖς καὶ φίλους, καὶ ὑπὲρ τούτων θανεῖν αἱρουμένων ⁝ Περὶ τοῦ Ἰνδοῦ ἔποπος μῦθόν φασιν οἱ Βραχμᾶνες.

7 74 Ἐγένετο παῖς Ἰνδῶν βασιλεῖ, καὶ ἀδελφοὺς εἶχεν, οἵπερ οὖν ἀνδρωθέντες ἐκδικώτατοί τε γίνονται καὶ λεωργότατοι, καὶ τούτου μὲν ὡς νεωτάτου καταφρονοῦσι, τὸν δὲ πατέρα ἐκερτόμουν καὶ τὴν μητέρα, τὸ γῆρας αὐτῶν ἐκφαυλίσαντες· ἀναίνονται οὖν ἐκεῖνοι τὴν σὺν τούτοις διατριβήν, καὶ ᾤχοντο φεύγοντες ὅ τε παῖς καὶ οἱ γέροντες. συντόνου δὲ ἄρα αὐτοὺς πορείας διαδεξαμένης, οἱ μὲν ἀπεῖπον καὶ ἀποθνήσκουσιν, ὁ δὲ παῖς οὐκ ὠλιγώρησεν αὐτῶν, ἀλλ’ ἔθαψεν αὐτοὺς ἐν ἑαυτῷ, ξίφει τὴν κεφαλὴν ἀποτεμών. ἀγασθέντα δὲ τὸν πάντ’ ἐφορῶντα Ἥλιον τῆς εὐσεβείας τὴν ὑπερβολήν, ὄρνιν αὐτὸν ἀποφῆναι, κάλλιστον μὲν ὄψει, μακραίωνα δὲ τὸν βίον· ὑπανέστηκε δέ οἱ καὶ λέφος ἐκ τῆς κορυφῆς, οἱονεὶ μνημεῖον τοῦτο τῶν πεπραγμένων ὅτε ἔφυγε· τοιαῦτα ἄττα καὶ Ἀθηναῖοι περὶ κορύδου τερατεύονται· ᾧ καὶ Ἀριστοφάνης ἀκολουθεῖ ἐν Ὄρνισι λέγων· Ἀμαθὴς γὰρ ἔφυς καὶ πολυπράγμω ν , οὐ δ ’ Αἴσωπον πεπάτηκας · ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθα ι , προτέραν τῆς γῆς · κἄπειτα νόσῳ τὸν πατέρα αὐτῆς ἀποθνήσκειν · γῆν δὲ οὐκ εἶναι · τὸν δὲ προκεῖσθαι πεμπταῖο ν , τὴν δὲ ἀποροῦσαν ὑ π ’ ἀμηχανίας τὸν πατέρα αὐτῆς ἐν τῇ κεφαλῇ κατορύξαι · ἔοικεν οὖν ἐξ Ἰνδῶν τὸ μυθολόγημα ἐπ’ ἄλλου μὲν ὄρνιθος, ἐπιῤῥεῦσαι δ’ οὖν καὶ τοῖς Ἕλλησιν· ὠγύγιον γάρ τι χρόνου μῆκος λέγουσι Βραχμᾶνες, ἐξ οὗ αὐτῷ τῷ ἔποπι τῷ Ἰνδῷ, ἔτι ἀνθρώπῳ ὄντι καὶ παιδὶ τήν γε ἡλικίαν, ἐς τοὺς γειναμένους πέπρακται. Ἐπὶ βύρσης ἐκάθητο : ἐπὶ τῶν δεομένων συμμαχίας· τοῦτο δὲ παρὰ τοῖς Σκύθαις ἐτελεῖτο· ἐπειδάν τις ἠδικεῖτο πρὸς ἑτέρου, ἀμύνασθαι δὲ βουλόμενος ἑαυτὸν οὐκ ἀξιόμαχον μόνον ᾤετο, βοῦν οὖν ἱερεύσας τὰ μὲν κρέα κατακόψας ἥψει, αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν ἐκάθητο ἐπ’ αὐτῆς εἰς τοὐπίσω παραγαγὼν τὼ χεῖρε· καὶ τοῦτό ἐστι Σκύθαις ἡ μεγίστη ἱκετηρία.

7 75 τῶν δὲ κρεῶν τοῦ βοὸς ὁ βουλόμενος μοῖραν λαμβάνων καὶ ἐπιβαίνων τῇ βύρσῃ τῷ δεξιῷ ποδὶ ὑπισχνεῖτο κατὰ δύναμιν ἕκαστος συμμαχήσειν· καὶ ἔστιν αὐτοῖς τοῦτο ὅρκων ὁ βεβαιότατος. Ἔπηλυς τὸν ἔνοικον : λείπει τὸ ἐξέβαλλεν.

7 77 Ἐπὶ ὅλμου ἐκοιμήσω : ἐπὶ τῶν μαντείας ποριζομένων ἔκ τινων ἐνυπνίων· τὸν ὅλμον γὰρ συμβάλλεσθαι ἔλεγον πρὸς μαντείας. Ἐπὶ μανδραβόλου χωρεῖ τὸ πρᾶγμα : ἀντὶ τοῦ, ἐπὶ τὸ χεῖρον.

7 78 Μανδραβόλας γάρ τις τὰς αὐτὰς θυσίας ὅρκοις ἑαυτὸν καταδήσας τοῖς θεοῖς κατ’ ἔτος προσάγειν, τὸ μὲν πρῶτον δέκα βοῦς ἔθυσε, τὸ δὲ δεύτερον παρ’ ἕνα, ἤτοι ἐννέα· περιελθόντος δὲ τοῦ τρίτου ἀφεῖλεν ἕτερον· καὶ οὕτως ποιῶν διὰ τῶν ἑξῆς ἐνιαυτῶν κατέστη εἰς ἐπιορκίαν· ὁ δὲ Ἔφορος οὕτως· ὁ Μανδραβόλας ἐν Σάμῳ γεωφάνιον εὑρὼν, πρῶτον μὲν κριὸν χρυσοῦν ἀνέθηκεν, ἔπειτα ἀργυροῦν, ἔπειτα χαλκοῦν ἐλάττονα, εἶτα οὐκέτι. Ἐ π ’ ὄνου πόκας : ἐπὶ τῶν ἀδυνάτων· ἀπ’ ὄνου γὰρ οὐκ ἔστι πόκον λαβεῖν.

7 80 Ἐπιχώριοι οὖρον ἴσασι : τὸν ἐπιτήδειον ἄνεμον. ὁμοία τῇ· Ἀπὸ χοέως σπάσο ν . Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις : ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

7 81

αἱ γὰρ τὴν σελήνην καθέλκουσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν στερίσκεσθαι. Ἐπινοίαις θηρᾶται τἀθήρατ α .

7 83 Ἐπίσταμαί τε καὶ πεπείραμαι λίαν, ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι. Ἐπὶ σπείρᾳ σχοινίον : ἐπὶ τῶν δωρουμένων τισὶν οὐχ ἕτερα, ἀλλ' οἷς κέκτηνται ὅμοια.

7 84 σπεῖρα γὰρ καὶ σχοινίον τὸ αὐτό. Τὸ ε μετὰ τοῦ ρ.

7 85 Ἔῤῥει τὰ καλά : ἐπὶ τῶν κακόν τι βουλομένων δηλῶσαι συντόμως· Ἱπποκράτης γὰρ ἡττηθεὶς Μινδάρῳ ταύτην ἔπεμψε τὴν ἐπιστολήν. Ἔρως θάλλει μὲν εὐπορῶν , ἀποθνήσκει δ ' ἀπορῶν : Διοτίμας ἀπόφθεγμα.

7 87 Ἐρήμη δίκη : ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν διαιτηθῇ· Ἑρμώνιος χάρις : ἡ κατὰ ἀνάγκην διδομένη.

7 89 Ἐρετριέων ῥῶ : ἐπὶ τῶν κατακόρως τισὶ χρωμένων. κατακόρως γὰρ οὗτοι χρῶνται τὸ ῥῶ. Ἔργα νέων , βουλαὶ δὲ μέσων , εὐχαὶ δὲ γερόντων : τοῦτο Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου φησὶν εἶναι παροιμίαν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικός.

7 91 Ἐρήμην ἁλῶναι : ὅταν μὴ παρόντος τοῦ εὐθυνομένου καταδικασθῇ ὁ διωκόμενος. Ἔρημον ἐμβλέπειν : ἀκίνητον καὶ νωθρόν.

7 92 οἷον ὅταν εἰς ἐρημίαν ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν. Ἀριστοφάνης Πολυείδῳ. Ἑρμῆς ἀμύητος : ἐπὶ τῶν μᾶλλον ἔν τισιν ἐμπείρων.

7 93 χλευαστικὴ δὲ ἡ παροιμία, ὁμοία τῇ· Βά λ ' ἐς ἔχοντα τὴν ἐπιστήμη ν . Ἕρμαιον κοινόν : καί· Ἑρμῆς κοινός : ἐπὶ τῶν εὑρόντων τι κέρδος ἀπροσδόκητον καὶ κοινὸν ποιησαμένων· ἢ ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν· ἢ ἀπὸ τῶν σωρῶν, αἳ τῷ Ἑρμῇ ἀνέκειντο. [5]

7 95 Ἐργίνου πολιαί : ἐπὶ τῶν προπολίων· οὗτος ἦν παῖς Κλυμένου, εἷς τῶν Ἀργοναυτῶν· Ὑψιπύλης δὲ τῆς θυγατρὸς Θόαντος βασιλέως Λημνίων ἐπιτάφιον ἀγῶνα τοῦ πατρὸς προτεθεικυίας, Ἐργῖνος νέος μὲν ὢν τῇ ἡλικίᾳ, προπόλιος δέ, παρῆλθεν ἀγωνισόμενος, καὶ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων γυναικῶν διὰ τὰς πολιάς· κάλλιστα οὖν τὸν ἀγῶνα διενεγκὼν καὶ τοὺς συνάθλους νικήσας Βορεάδας Ζῆθον καὶ Κάλαϊν, εἰς ὑπερβολὴν ἐθαυμάσθη. περὶ οὗ καὶ ὁ Πίνδαρος εἶπε, διάπειρά τοι βροτῶν ἔλεγχο ς . Τὸ ε μετὰ τοῦ ς. [5]

7 96 Ἐς κόρακας : Βοιωτοῖς ὁ θεὸς ἔχρησεν, ὅπου ἂν λευκοὶ κόρακες φανῶσιν, ἐκεῖ κατοικεῖν· περὶ δὲ τὸν Παγασητικὸν κόλπον ὑπὸ παίδων ἀκάκων γυψωθέντας κόρακας. ὕστερον δὲ Αἰολεῖς, ἐκβαλόντες αὐτούς, τοὺς φυγαδευομένους εἰς αὐτὸ ἔπεμπον. οἱ δὲ, ὡς τοῦ ζῴου ἀναιδοῦς καὶ δυσοιωνιστικοῦ ὄντος. Ἀριστοτέλης δὲ φησί, λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ παρακαθαίροντας ἐᾶν ζῶντας, καὶ ἐπιλέγειν τῷ λοιμῷ, Φεῦ γ ' ἐς κόρακα ς . ὁ δὲ Αἴσωπος μυθικῶς κολοιὸν μέγαν, νομίσαντα τοῖς κόραξιν ὅμοιον εἶναι, πρὸς αὐτοὺς πολευθῆναι· ἡττηθέντα δὲ πάλιν εἰς τοὺς κολοιὺς ὑποστρέψαι· τοὺς δὲ ἀγανακτήσαντας παίειν αὐτὸν λέγοντας, φεῦ γ ' ἐς κόρακα ς . Ἀριστείδης δὲ ἀποδίδωσι, διὰ τὸ ἐν τρεχέσι τόποις καὶ κρημνώδεσι νεοσσοποιεῖσθαι, λέγειν ἡμᾶς, Φεῦ γ ' ἐς κόρακα ς , ἤγουν εἰς σκότος, εἰς ὄλεθρον. Ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας. [15]

7 98 Ἐσκιμαλίχθαι σε χρή : ἐπὶ τῶν ἀξίων ὕβρεως· σκιμαλίσαι δὲ λέγεται, ὅταν βουλόμενος ἐνυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείναντες καὶ τοὺς λοιποὺς συνάγοντες ἐνδείξωσιν αὐτῷ· κυρίως δὲ λέγεται τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν. Ἔσχατα ἐσχάτων κακὰ διαπέπρακται : ὁμοία ἐστὶ τῇ· Δεινότερα Δεινίο υ . [5]

7 99 καί· Κύντερα Κύντωνος : ἐπὶ τῶν ἄκρως κακῶν. Ἑστίᾳ δύειν : οἱ γὰρ Ἑστίᾳ θύοντες οὐδὲν ἐξέφερον τῆς θυσίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

7 100 ὁμοία τῇ· Αὐτῷ κανῷ κατέφαγες πάντ α . Ἔσχατος Μυσῶν πλεῖν : οἱ δὲ τὸ μὲν πρῶτον ἠπόρουν, αὖθις δὲ τὴν Αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς Μυσίας εὗρον.

8 1 ἔνιοι τὴν παροιμίαν χρησμὸν λέγουσι Τηλέφῳ μαντευομένῳ γεγονέναι παρὰ γονέων, ἐπὶ τίνας τόπους ἐλθὼν, εὕροι τοὺς γονεῖς· τὸν δὲ θεὸν προστάξαι πλεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν· ἀφικόμενον δὲ εἰς Τεθρανίαν, νέμεσθαι γὰρ ταῦτα τὰ χωρία τοὺς Μυσούς, ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ. τάσσεται δὲ ἡ παροιμία ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων. Ἔστω ταμίας · τὰ δ ’ ἄλ λ ’ εἰ βούλει κύων : ἐπὶ τῶν παρ’ ἀξίαν εὐημερούντων καὶ μάλιστα εὐνούχων.

8 3t Τὸ ε μετὰ τοῦ τ. Ἑτερόγναθος εἶ : ἐπὶ τῶν ἐπ’ ἀπληστίᾳ ἀμφοτέραις ταῖς γνάθοις ἐσθιόντων· οἱ δὲ ἐπὶ τῶν ἀπειθῶν ἵππων.

8 4 Ἑτερομόλιος δίκη : εἰς ἣν οἱ ἀντίδικοι οὐκ ἦλθον. Ἔτρεχέ τις μὴ βρεχθείῃ , καὶ εἰς βόθρον ἀπεπνίγη : ἐπὶ τῶν μικρὰ φευγόντων κακὰ καὶ περιπιπτόντων μείζοσιν.

8 6t Τὸ ε μετὰ τοῦ υ. Εὐγενέστερος Κόδρου : τοῦ υἱοῦ Μελάνθου τοῦ Μεσσηνίου, πατρὸς δὲ Μέδοντος καὶ Νηλέως· οὗτος ὁ Κόδρος Δωριέων ἐπιστρατευσάντων Ἀθηναίοις, ἐπεὶ τοὺς εἰς Πελοπονήσου φυγάδας προσεδέξατο, ἐν οἷς καὶ Μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος, αἱρήσειν τὴν πόλιν, ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως, νοήσας τὸν χρησμόν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν Δωριέων, ἕνα ἐξ αὐτῶν ἀνεῖλε· διοργισθέντες δὲ οἱ λοιποὶ συλλαβόντες αὐτὸν ἀνεῖλον, ὡς Εὔδημος.

8 7 Εὐτυχία πολύφιλο ς . Εὐμεταβολώτερος κοθόρνου : κόθορνος ὑπόδημα ἁρμόζον δεξιῷ τε καὶ εὐωνύμῳ ποδί.

8 8 ὅθεν καὶ Θηραμένην τὸν ἐπὶ τῶν τριάκοντα κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι. ἐπὶ τῶν μετατρεπομένων οὖν συνεχῶς ἡ παροιμία. Εὕδοντι κύρτος : ἐπὶ τῶν εὐτυχούντων.

8 9 συμβαίνει γὰρ κοιμωμένων τῶν ἁλιέων τὸν κύρτον αἱρεῖν ἰχθύας. Εὐήθει δάκτυλον μὴ δείξῃς , ἵνα μὴ καὶ τὴν παλάμην σου καταπίῃ : ὅτι οὐ χρὴ θάῤῥος διδόναι τοῖς ἀνοήτοις.

8 11 Εὔχου τῷ πλησίον ἔχειν , ἐπὶ πλέον δὲ τῇ χύτρᾳ : παρόσον τὸ οἴκοι ἔχειν βέλτιον τοῦ παρὰ τοῦ γείτονος δέχεσθαι. Εὐρύβατος : ἤτοι πονηρός.

8 12 ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὥς φησιν Ἔφορος, εἶτα μεταβαλλομένου πρὸς Κῦρον· ἦν δὲ Ἐφέσιος· οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον. Διότιμος Ἡρακλέους ἐν ἄθλοις· Κέρκωπές τοι πολλὰ κατὰ τριόδους πατέοντες Βοιωτῶν σίνοντο · γένος τ ’ ἦσαν οἱ χαλκῆε ς , Ὦλος τ ’ Εὐρύβατος δύω βαρυδαίμονε ἄνδρ ε . Νίκανδρος· Αἰγίνεον Εὐρύβατον πανουργότατον · οὗ μνημονεύει Ἀριστοτέλης ἐν πρώτῃ περὶ δικαιοσύνης. Δοῦρις δὲ ἐν τετάρτῳ παρὰ Ἀγαθοκλέα, ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου. Λέγεται δὲ, τὸν Εὐρύβατον κλέπτην ὄντα, εἰρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες εἶλον αὐτὸν οἱ φυλάττοντες, ἐκέλευσεν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς οἴκους ἀναῤῥίχησιν, τὸ μὲν πρῶτον διωθεῖσθαι· δεομένων δὲ ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους καὶ τὰς ἐγκεντρίδας ἀναδραμεῖν εἰς τοὺς τοίχους· ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας, λαβεῖν αὐτὸν τὸν ὄροφον καὶ ὑπερβαλόντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπατῆσαι. Εὕρηκα ὃ οὐκ ἐζήτουν : ἐπὶ τῶν οἷς οὐκ ἤθελον περιπεσόντων.

8 14 Εὐρυκλῆς πᾶς ἐγγαστρίμυθος : ἀπὸ Εὐρυκλέους τοιούτου τινὸς μάντεως. Εὐγενὴς ἐκ βαλαντίου : ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

8 16t Τὸ ε μετὰ τοῦ φ. Ἔφυγον κακὸν , εὗρον ἄμεινον : ὅτε τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν φησὶν ἀπεῶσθαι, εὑρῆσαι δὲ τὴν ἥμερον τροφήν.

8 16 τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν πέμμα κακὸν ἔλεγον. Νόμος ἦν Ἀθήνησιν ἀμφιθαλῆ παῖδα ἐστεμμένον ἀκάνθαις μετὰ δρυίνων καρπῶν, λεῖκνον βαστάζοντα ἄρτων πλέων, τοῦτο λέγειν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. Ἐφέσια γράμματα : ἐπωδαί τινες ἦσαν, ἅπερ οἱ φωνοῦντες ἐνίκων ἐν παντί.

8 17 ταυτὸν τῇ, Δαφνίνην φορῶ βακτηρία ν . Ἐ φ ’ ὕδωρ : ἐν ταῖς δίκαις ὁ ἐπιμελησόμενός τινος ἐλάλει πρὸς ὕδωρ.

8 19 Ἐφημέρου ζωή : ἐπὶ τῶν ὠκυμόρων, ἢ καὶ αὐθημερὸν θνησκόντων ⋮ Ἔστι ζῷα ἐφήμερα οὕτω καλούμενα· λαβόντα τὸ ὄνομα ἐκ τοῦ μέτρου τοῦ κατὰ τὸν βίον. τίκτεται γὰρ ἐν τῷ οἴνῳ, καὶ ἀνοιχθέντος τοῦ σκεύους τὰ δὲ ἐξέπτη καὶ εἶδε τὸ φῶς καὶ τέθνηκεν. οὐκοῦν παρελθεῖν μὲν αὐτοῖς ἐς τὸν βίον ἔδωκεν ἡ φύσις, τῶν δὲ ἐν αὐτοῖς κακῶν ἐρύσατο τὴν ταχίστην, μήτε τῶν ἰδίων συμφορῶν ᾐσθημένοις, μήτε μήν τινος τῶν ἀλλοτρίων μάρτυσι γεγενημένοις ⋮ Ἔστι καὶ ἄλλο ζῷον, μονήμερον λεγόμενον, περὶ τὸν Ὕπανιν ποταμὸν, τικτόμενον μὲν ἅμα τῷ κνέφᾳ, ἀποθνῆσκον δὲ ἐπὶ δυσμὰς ἡλίου τρεπομένου, ὡς Ἀριστοτέλης φησίν. Ἐ φ ’ ἑνὶ παιδὶ σαλεύει : ἤτοι ἔχει τὰς ἐλπίδας τοῦ γένους.

8 20 λέγεται καὶ ἐπὶ πλοίων, ὡς Δίων ἐν Ῥωμαϊκοῖς· ὀλίγα μὲν γὰρ καὶ τὰ κουφότατα τῶν πλοίων πρὸς τῇ γῇ ὥρμει · τὰ δὲ δὴ πλείω καὶ μείζω μετέωρα διὰ τὰ τενάγη ἐπεσάλευε ν . Τὸ ε μετὰ τοῦ χ.

8 21 Ἐχῖνος τὸν τόκον ἀναβάλλει : λέγεται ἐφ’ ὧν τὸ ἀναβάλλεσθαι πρὸς χεῖρον γίνεται· καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον, εἶθ’ ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν ἐν τῷ τόκῳ ⋮ Τοὺς ἐχίνους ἔτι ζῶντας καὶ ἐν τοῖς ὀστράκοις ὄντας καὶ προβεβλημένους τὰ κέντρα εἴ τις συντρίψας καὶ διαῤῥήξας ἐς τὴν θάλασσαν ἄλλο ἄλλῃ τρύφος καταλίποι, τὰ δὲ ἄρα συνέρχεται αὖθις καὶ ἑνοῦται, καὶ τὸ συγγενὲς θρύμμα ἀνέγνω, καὶ προσπλακὲν συνέφυ ⋮ Ὁ χερσαῖος ἐχῖνος ὅταν ἁλίσκηται, παραχρῆμα ἐνούρησε τῷ δέρματι, καὶ ἀχρεῖον ἀπέφηνεν αὐτό· δοκεῖ δὲ εἰς πολλὰ ἐπιτήδειον ⋮ Ἐχῖνος ὁ θαλάττιος στομάχῳ ἐστὶν ἀγαθός· τὸν τέως γὰρ κακόσιτον ὄντα καὶ πᾶν ὁτιοῦν βδελυττόμενον ὅδε ἀναῤῥώννυσιν· ἔστι δὲ κύστεως κενωτικός. Εἰ δὲ αὐτοῦ ἐπιχρίσαις σώματι ψωριῶντι, ὁ δὲ σῶν ἐργάζεται τὸν τέως νοσοῦντα ταύτην τὴν νόσον· καυθεὶς δὲ ἄρα ὀστράκοις αὐτοῖς ἐκκαθαίρει τὰ ῥυπῶντα τῶν τραυμάτων. χερσαίου δὲ ἐχίνου καυθέντος ἡ σποδιὰ πίττῃ προσανακραθεῖσα εἶτα μέντοι καταχρίεται τῶν λειψοτρίχων μερῶν, καὶ οἱ τέως φυγάδες, ἵνα τοι καὶ παίξω, ὑπαναφύονται· πινομένη δὲ οἴνῳ νεφροῖς ἀγαθὸν ἐστί, σώζει δὲ καὶ ὑδεριῶντας ποθεῖσα ⋮ Ὁ χερσαῖος ἐχῖνος μέλλων ἁλίσκεσθαι, ἑαυτὸν συνειλήσας ἄληπτον ἐργάζεται, εἶτα μέντοι καὶ πιέζει τὸ πνεῦμα, καὶ ἀκίνητος ἀτρεμεῖ, καὶ τὸν τεθνεῶτα ὑποκρίνεται. Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα : δῆλον ἐπὶ τίνι· καὶ παρὰ Σοφοκλεῖ.

8 23 Ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον : ἐπὶ τῶν ἐλπιζόντων πυρὶ νικῆσαι τοὺς πολεμίους. Ἔχομεν κύνα τῷ πτωχῷ βοηθοῦντα : ἐπὶ τῶν τοῖς οἰκείοις θαῤῥούντων, ὑπ’ ἐκείνων δὲ ἐπιβουλευομένων.

8 25 Ἔχει καὶ οἱ μυῖα σπλῆνα : Ἔχει καὶ χολὴν ὁ μύρμηξ : ἐπὶ τῶν εὐκαταφρονήτων. Τὸ ε μετὰ τοῦ ψ.

8 26 Ἕψεσθαί σοι πεῖρα λίθον : ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων. Ἀρχὴ τοῦ ζ στοιχείου.

8 27t Τὸ ζ μετὰ τοῦ α. Ζαλεύκου νόμος : ἐπὶ τῶν ἀποτόμων.

8 27 Ζάλευκος γὰρ Λοκρῶν νομοθέτης ὠμότατος. Ὁμοῖον τῷ· Τενέδιος πέλεκυ ς . Τὸ ζ μετὰ τοῦ ε.

8 28 Ζεὺς ἀετὸν εἵλετο : ἐπὶ τῶν λυσιτελῆ καὶ καλὰ ἐκλεγομένων· λέγεται γὰρ κατὰ τὴν τοῦ Διὸς γέννησιν τὸν ἀετὸν γεννηθῆναι, ἐν δὲ τῇ πρὸς Γίγαντας μάχῃ παραπτῆναι· διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν Ζεὺς ἀετὸν εἵλετο, ᾧ καὶ προστάσσει καὶ ἀγγέλῳ χρῆται πρὸς ἐκείνους,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὓς ἐπιφανείας ἀξιοῖ. Ζεῦγος Κροβύλου : λέγεται ἐπὶ πόρνων· οὗτος γὰρ δύο ἔχειν κατηγορεῖτο πορνοβοσκὸς ὢν ἑταίρας· ἄλλοι δὲ, ἐπὶ τῶν ὑπερβαλλούσῃ πονηρίᾳ χρωμένων.

8 30 Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας : ὅτι οὐκ ἀπρονόητος· τὸν γὰρ Δία φασὶν εἰς διφθέρας τὰ πραττόμενα τοῖς ἀνθρώποις γράφειν· λέγεται ἐπὶ τῶν βραδέως τιμωρουμένων. Τὸ ζ μετὰ τοῦ η.

8 31 Ζῇ χύτρα , ζῇ φιλία : ἐπὶ τῶν δείπνῳ συνιόντων εἰς φιλίαν. Ζήνωνος ἐγκρατέστερος : οὗτος γὰρ ἀκριβῆ δίαιταν εἶχε καὶ λιτὴν, ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι· ἑβδομήκοντα γὰρ πρὸς τοῖς ἓξ βιοὺς ἔτη κατέστρεψε τὸν βίον ἄνοσος καὶ ὑγιὴς διατελέσας.

8 33 Ζητῶν ὄψον θοιμάτιον ἀπώλεσα : ἐπὶ τῶν ἀτυχεστάτων. Ζητεῖς τὸν οὐ παρόντα : ὁ Ἡρακλῆς συμπλέων τοῖς Ἀργοναύταις περί τινα κρήνην ἀποστέλλει τὸν Ὕλαν ὑδρεύσασθαι.

8 34 Νηρηΐδες δὲ τὸν νεανίαν λαβοῦσαι τοῖς ὕδασιν ἀπεθέωσαν. Ἡρακλῆς δὲ, μηκέτι τοῦ μειρακίου ὑποστρέφοντος, πᾶσαν ὕλην καὶ κρήνην περιτρέχων τὸν οὐ παρόντα ζητῶν κατεφαίνετο· περὶ οὗ φησι καὶ Θεόκριτος· Κὤχε θ ’ Ὕλας ὁ ξανθὸς ὕδας ἐπιδόρπιον οἴγω ν . Τὸ ζ μετὰ τοῦ ω.

8 35 Ζωπύρου τάλαντα : Κρατῖνος περὶ Φίλιππον Πέρσην ὄντα ὑπὸ φιλοτιμίας χαριζόμενον βασιλεῖ μαστιγῶσαι ἑαυτόν· καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀποστερήσαντα εἰσελθεῖν εἰς τὴν Βαβυλῶνα· καὶ πιστευθέντα διὰ ταύτην τὴν κακουχίαν καταλαβεῖν τὴν πόλιν· καὶ ἐκ μεταφορᾶς εἰπεῖν, τάλαντα καὶ ζυγ ά , οἱονεὶ ἔργα καὶ πράξεις. Ζωὴ πίθου : ἐπὶ τῶν μετρίως ζώντων· ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἡδίστη διατριβή.

8 37 Ζωὸς γενήσῃ κρομμύου μοῖραν λαβών : ἐπὶ τῶν ἐκ μικρᾶς αἰτίας μεγάλην καρπουμένων. Ζῶμεν οὐχ ὡς θέλομεν , ἀλ λ ’ ὡς δυνάμεθα : ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων.

8 39t Ἀρχὴ τοῦ η στοιχείου. Τὸ η μετὰ τοῦ α. Ἡ ἀπὸ Σκυθῶν ῥῆσις : ἐπὶ τῶν οἰμώζειν τινὰ λεγόντων· τοῦτο γὰρ πρὸς Δαρεῖον τὸν Πέρσην ἀπεκρίναντο οἱ Πέρσαι.

8 39 Εἰ μὴ πατὴρ ἦσθ α . Αἴδεις ἔχω ν . Ἡ ἀφύη πῦρ : ἐπὶ τῶν ταχέως λαμβανόντων· παρόσον ἡ ἀφύη ταχέως ἑψεῖται.

8 41 Ἡ ἅμαξα τὸν βοῦν : λείπει τὸ ἕλκει. ἐπὶ τῶν ἀντεστραμμένως τι ποιούντων. Τὸ η μετὰ τοῦ δ.

8 42 Ἡδὺ χελώνης κρέα φαγεῖν ἢ μὴ φαγεῖν : τῆς χελώνης ὀλίγα κρέα βρωθέντα στρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει· ὅθεν ἡ παροιμία, ἐπὶ τῶν ἀποδύντων μὲν πρᾶγμα, στρατευομένων δέ. φασὶ δὲ αὐτὴν Τερψίωνος εἶναι. Τὸ η μετὰ τοῦ κ.

8 43 Ἡ κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσεν : ἐπὶ τῶν τὰ ξένα ἐπιθυμούντων καὶ προσαποβαλλόντων τὰ ἴδια. Ἡ κύων ἐν φάτνῃ : πρὸς τοὺς μήτε ἑαυτοὺς χρωμένους μήτε ἐῶντας· παρόσον ἡ κύων κριθὴν οὐκ ἐσθίει μένουσα ἐν φάτνῃ, καὶ τὸν ἵππον οὐκ ἐᾷ ⁝ Ἔδωκε δὲ ἄρα ἡ φύσις ταῖς κυσὶ τραυμάτων ἀντίπαλον πόαν.

8 44 οἱ δὲ ἕλμινθες αὐτὰς λυποῦσι, τοῦ σίτου τὸ καλούμενον λήϊον ἐσθίουσαι ἐκκρίνουσιν αὐτάς. λέγωνται δὲ καὶ ὅταν δέωνται τὴν γαστέρα ἑκατέραν κενῶσαι πόαν τινὰ ἐσθίειν, καὶ τὸ μέν τι τῆς τροφῆς τὸ ἐπιπολάζον ἀνεμεῖν, τὰ δὲ περιττὰ κάτωθεν ἀποκρίνεσθαι· ἐντεῦθεν καὶ τὸ συρμαΐζειν Αἰγύπτιοι λέγονται μαθεῖν. Πέρδικές τε καὶ πελαργοὶ τρωθέντες καὶ φάτται τὴν ὠρίγανον, ὡς λόγος, διατραγόντες, εἶτα τοῖς τραύμασιν ἐντιθέντες ἀκοῦνται τὸ σῶμα. Ἢ κρίνον , ἢ κολοκύντην : τὸ τῆς κολοκύντης ἄνθος καλεῖται κρίνον· ἔταττον οὖν τὸ μὲν κρίνον ἐπὶ τοῦ τεθνηκότος, τὴν δὲ κολοκύντην ἐπὶ τοῦ ὑγιοῦς.

8 46 Ἡ κέρκος τῇ ἀλώπεκι μαρτυρεῖ : ἐπὶ τῶν δεικνυόντων ἀπὸ μικρᾶς πράξεως τὸ ἦθος. Τὸ η μετὰ τοῦ λ.

8 47 Ἡλικίαν σὴν οὐκ ἔχω : ἐπὶ τοῦ καταφρονοῦντός τινος ὡς ἀνοήτου. Ἢ λέγε τὶ σιγῆς κρεῖττον , ἢ σιγὴν ἔχε : παραινετική.

8 49

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡ Λύκου : ὁ Λύκος Ἀθήνησι πρὸς τῷ δικαστηρίῳ ἥρως, μορφὴν ἔχων θηρίου. Ἧλιξ ἥλικι πρέπει : Ἡλίῳ φῶς δανίζεις : ἐπὶ τῶν ἀδυνάτων.

8 52 Ἧλος τὸν ἧλον : καί· Πάτταλος τὸν πάτταλον ἐξέκρουσεν : ἐπὶ τῶν ἰωμένων δι’ ἁμαρτήματος ἁμάρτημα. Ἠλιθιώτερος ᾀδώνιδος τοῦ Πραξιτέλους : ᾅδωνις γάρ τις Πραξιτέλους υἱὸς ἀποθανὼν καὶ ἐρωτηθεὶς πρὸς τῶν ἐν ᾅδου, τί κάλλιστον ἄνω κατέλιπεν; ἀπεκρίνατο, ἥλιον, σελήνην, σῦκα καὶ μῆλα· ἔδοξε γοῦν ἠλίθιος ταῦτα ἐξισῶν τῷ ἡλίῳ.

8 54t Τὸ η μετὰ τοῦ μ. Ἠμένι πελειάς : ἐπὶ τῶν ἁπλουστάτων ταττομένη ⋮ Αἱ περιστεραὶ ἐν μὲν ταῖς πόλεσι τοῖς ἀνθρώποις συναγελάζονται καὶ εἰλοῦνται περὶ τοῖς ποσὶν, ἐν δὲ τοῖς ἐρήμοις χωρίοις ἀποδιδράσκουσι.

8 54 θαῤῥοῦσι μὲν γὰρ τοῖς πλήθεσιν, ὡς οὐδὲν πείσονται δυσχερές· ὅπου δὲ ὀρνιθοθῆρες καὶ ἐπιβουλευταὶ κατ’ αὐτῶν, ἄτρεστα οἰκοῦσιν οὐκέτι ⋮ Καὶ τὰς φάττας δέ φασι, τόν τε ἄῤῥενα καὶ τὸν θηλυκὸν συνδυασθέντας, καὶ οἱονεὶ συμπεράσαντας, εἰς γάμον ἀλλήλων ἔχεσθαι, καὶ σωφρονεῖν, καὶ οὐκ ἂν ὀθνείου λέχους οὔθ’ ἕτερος ἅψηται. ἐὰν δὲ ἐπιφθαλμίσωσιν ἑτέροις, τὸν μὲν ἄῤῥενα οἱ ὁμογενεῖς διασπῶσιν, αἱ θήλειαι δὲ τὸν θηλυκόν. Οὗτος ἄρα ὁ νόμος καὶ ἐς τὰς τρυγόνας ἀφικνεῖται. Ἢ μένοντα ἀποθανεῖν , ἢ νικᾶν : ἐπὶ τῶν ἐμψύχων.

8 56 Ἡμεῖς δέκα Ῥόδιοι , δέκα νῆες : ἐπὶ τῶν ἀλαζονευομένων· τοῦτο δὲ εἶπεν ἡ Δημήτηρ πρὸς Τριπτόλεμον. Ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο : ἐπὶ τῶν ἀποβλήτων καὶ διαβεβλημένων.

8 58t Τὸ η μετὰ τοῦ ν. Ἢν μὴ καθάρῃς καὶ ἀλέσῃς , οὐ φάγῃς : ἐπὶ τῶν σὺν μόχθῳ ποριζομένων τὴν ἀναγκαίαν τροφήν.

8 59 Ἣν ἔλαχες σπάρταν , ταύτην κόσμει : παραινεῖ γὰρ, μὴ τοῖς ** ὑπὲρ ἀξίαν ἐπιπηδᾶν. Ἦν ποτε κἀμοὶ πρώρα καὶ πρύμνη : ἐπὶ τῶν ἐν διαφόροις πράγμασί ποτε εὐτυχούντων.

8 61t Τὸ η μετὰ τοῦ ο. Ἢ οὐ πεττεύω : ἐπὶ τῶν κρύπτειν πειρωμένων τὰ οἰκεῖα ἐλαττώματα.

8 62t Τὸ η μετὰ τοῦ π. Ἡ παναγαία Ἄρτεμις : ἐπὶ τῶν ἀγύρτων καὶ πενήτων.

8 62 παρόσον καὶ ἡ θεὸς ἀγείρειν καὶ πλανᾶσθαι λέγεται. Τὸ η μετὰ τοῦ ρ.

8 63 Ἡρακλῆς ξενίζεται : ἐπὶ τῶν βραδυνόντων· οἱ γὰρ ὑποδεχόμενοι τὸν Ἡρακλῆν βραδύνουσι· πολυφάγος γὰρ ὁ ἀνήρ. Ἡράκλειος νόσος : ἡ ἱερά· εἰς ταύτην γὰρ περιέπεσεν Ἡρακλῆς.

8 65 Ἡρακλῆς καὶ πίθηκος : ἐπὶ τῶν ἀξυμβάτων. Ἡράκλεια λουτρά : ἐπὶ τῶν δῶρα λαμβανόντων.

8 66 κατὰ δωρεὰν γὰρ ὁ Ἥφαιστος ἀνέδωκε λουτρὰ τῷ Ἡρακλεῖ. Ἡράκλειος λίθος : ταύτην ἔνιοι μαγνίτην λέγουσι.

8 68 Ἡράκλειος ψώρα : ἡ Ἡρακλείων θερμῶν δεομένη πρὸς θεραπείαν. Τὸ η μετὰ τοῦ ς.

8 69 Ἦσάν πο τ ’ ἦσαν ἄλκιμοι Μιλήσιοι : ἐπὶ τῶν ποτε εὐπόρων γεγονότων. Τὸ η μετὰ τοῦ τ.

8 70 Ἡττήθης τινὸς ἀλεκτρυόνος : ἐπὶ δούλων ἢ θεραπόντων ἑπομένων τοῖς δεσπόταις. Ἢ τὰν ἢ ἐπὶ τᾶς : Λάκαινα προσαναδιδοῦσα τῷ παιδὶ τὴν ἀσπίδα τοῦτ’ ἔφη τἀπόφθεγμα.

8 72 Ἢ τρὶς ἓξ , ἢ τρεῖς κύβοι : ἐπὶ τῶν κινδυνευόντων· τὸ μὲν τρὶς ἓξ, τὴν παντελῆ νίκην δηλοῖ· τὸ δὲ τρεῖς κύβοι, τὴν ἧτταν· πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς παιδιὰς κύβοις. Ἤτοι τέθηκεν , ἢ διδάσκει γράμματα : τῶν εἰς Σικελίαν στρατευσάντων οἱ μὲν ἐλήφθησαν αἰχμάλωτοι, οἱ δ’ ἀπώλοντο· οἱ οὖν διαφυγόντες ἔλεγον τοῦτο.

8 74t Τὸ η μετὰ τοῦ φ. Ἡ Φάνου θύρα : τὸν Φᾶνόν φασι δήμου ὀβολοστάτην εἶναι· ἄλλως δὲ τυφλόν, ὑπανοιγομένης δὲ τῆς θύρας τοῦ ταμιείου αὐτοῦ κατασκευάσαι τοιαύτην, ἣν οὐκ ἄν τις ἤνοιξε μὴ ψόφον ποιήσας.

8 74 ἐνίους δὲ λέγειν ὡς μοιχευομένης αὐτοῦ τῆς γυναικὸς τὴν αὔλιον θύραν εἰργάσατο, ὡς μὴ ἄνευ ψόφου ἀνοίγεσθαι. τῆς δὲ κατὰ τοῦ τέγους δεχομένης τὸν μοιχόν, χλευάζοντας τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γείτονας ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν τῷ φυλάττειν τὴν Φάνου θύραν εἶναι λέγειν· Ἢ φρονεῖν ἔλασσον ἢ δύνασθαι δεῖ μεῖζον.

8 76 Ἡφαίστειος δεσμός : ἐπὶ τῶν ἀφύκτων. Ἡ φιλοχρηματία Σπάρταν ἕλοι , ἄλλο δὲ οὐδέν : ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν πειρωμένων· ἔφησε γὰρ ὁ θεὸς Σπαρτιάταις τότε ἀπολεσθῆναι, ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσιν.

8 78t Ἀρχὴ τοῦ θ στοιχείου. Τὸ θ μετὰ τοῦ α. Θάμυρις μαίνεται : ἐπὶ τῶν συνετῶς βιούντων, δοκούντων δέ τισι μαίνεσθαι.

8 78 Θάμυρις γάρ τις ἰδὼν μαστιγούμενον οἰκέτην παρὰ δεσπότου αὐτοῦ ἐν τῷ ἱερῷ καὶ μὴ τοῦ ἱεροῦ φροντίζοντος, τὴν οὐσίαν αὐτοῦ δοὺς ἀπεδήμησεν· ὃν ὁρῶντες ἔλεγον, μαίνεται Θάμυρι ς . Θάνατον παρδάλεως ὑποκρίνεται : ἐπὶ τῶν βλαπτόντων ἢ διαφθειρόντων τινὰς πανουργίαις ⁝ Οἱ γὰρ ἐν τῇ Μαυρουσίᾳ γῇ πίθηκοι τὴν ἐκ τῶν παρδάλεων ἐπιβουλὴν φυλαττόμενοι, ἐπὶ τὰ δένδρα ἀναθέουσι, καὶ ἐκεῖ κάθηνται· ἦν δὲ ἄρα πάρδαλις καὶ τοῦ πιθήκου σοφώτερον, οἵας γοῦν ἐπ’ αὐτοῖς παλαμᾶται καὶ ῥάπτει τὰς πάγας· ὅπου τὸ πλῆθος πιθήκων κάθηται, ἐνταῦθα ἐλθοῦσα ἑαυτὴν ὑπέῤῥιψε τῷ δένδρῳ, καὶ κεῖται κατὰ τοῦ δαπέδου ὑπτία, καὶ τὴν μὲν γαστέρα διώγκωσε, παρῆκε δὲ τὰ σκέλη, τὼ δὲ ὀφθαλμὼ κατέμυσε, πιέζει γε μὴν καὶ συνέχει τὸ ἆσθμα, καὶ κεῖται νεκρὰ δή· οἱ δ’ ἄνωθεν τὴν ἐχθίστην ἰδόντες τεθνάναι νομίζουσιν αὐτήν, καὶ ὃ μάλιστα βούλονται τοῦτο καὶ οἴονται· οὐ μὴν θαῤῥοῦσιν ἤδη, ἀλλὰ πεῖραν καθιᾶσιν.

8 79 ἕνα γὰρ ἑαυτῶν τὸν δοκοῦντα ἀδεέστερον πέμπουσι κατασκεψόμενον τὸ τῆς παρδάλεως πάθος· ὁ δὲ κάτεισιν οὐ παντελῶς ἀδεής, ἀλλὰ ὀλίγον καταδραμὼν εἶτα ὑπέστρεψε τοῦ φόβου ἀναστείλαντος αὐτόν· καὶ κατῆλθε πάλιν καὶ πλησίον ἁλόμενος ἀνεχώρησε· καὶ τὼ ὀφθαλμὼ κατεσκέψατο, καὶ τὸ πνεῦμα καὶ τὸ ἆσθμα εἰ μεθίησιν ἐξήτασεν. ἡ δὲ ἀτρεμοῦσα καὶ μάλα ἐγκρατῶς ἐντίθησίν οἱ τὸ κατὰ μικρὰ ἀδεές· προσελθόντος δὲ καὶ μένοντος ἀπαθοῦς, καὶ οἱ μετέωροι πίθηκοι θαῤῥοῦσιν ἤδη καὶ καταβάντες περιέρχονταί τε καὶ περιχορεύουσιν αὐτήν· εἶτα ἐμπηδήσαντες κατεκυβίστησαν καὶ κατωρχήσαντο κέρτομόν τινα καὶ πιθήκοις πρέπουσαν ὀρχηστικήν, καὶ ποικίλως ἐνυβρίσαντες, ἣν ἔχουσιν ὡς ἐπὶ νεκρῷ χαρὰν ἐμαρτύραντο. ἡ δὲ ὑπέμεινε πάντα, μὴ δεομένη εἰπεῖν, τέθλαθι κραδίη · εἶτα ὅταν ἐννοήσῃ κεκμηκέναι ὑπὸ τῆς χορείας αὐτοὺς καὶ τῆς ὕβρεως ἀδοκήτως ἐπιπηδήσασα τοὺς μὲν τοῖς ὄνυξι διέξηνε, τοὺς δὲ τοῖς ὀδοῦσι διεσπάσατο, καὶ τὴν ἐκ τῶν πολεμίων πανθοινίαν τε καὶ πανδαισίαν ἀφθονώτατα ἔχει. Θαλάττιον ἐκ χαράδρας ὕδωρ : ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων.

8 81 Θάσος ἀγαθῶν : ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν δεῖξαί τινα ἐπαγγελλομένων. Θᾶττον ὑπὸ μάλης πέν τ ’ ἐλάφους κρύψειας ἢ ἕνα κίναιδον : ἐπὶ τῶν ἀναισχύντων.

8 83 Θαλάττιος ὢν μή πως χερσαῖος γένῃ : ἐπὶ τῶν καταλιμπανόντων τὰ οἰκεῖα ἐπιτηδεύματα καὶ τοῖς μὴ προσήκουσιν ἐπιχειρούντων. Τὸ θ μετὰ τοῦ ε.

8 84 Θεαγένους χρήματα : ἐπὶ τῶν ἐπηρμένων πτωχῶν. οὗτος γὰρ ὢν πένης ἔλεγεν ἑαυτὸν εἶναι πλούσιον. Θετταλικὴ γυνή : ἐπὶ τῶν φαρμακίδων.

8 86 Θεὸς ἀναίδεια : ἐπὶ τῶν ἀναισχυντίᾳ ὠφρυωμένων. Θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτού ς .

8 88 Θετταλικὰ πτερά : ἐπὶ τῶν παρασχῆμα ἐσθῆτας ἐνειμένων· αἱ γὰρ Θετταλικαὶ ἐσθῆτες πτερωταὶ ἦσαν. Θεῶν ἀγορά : ἐπὶ τῶν χρησίμων καὶ δικαίων.

8 90t Τὸ θ μετὰ τοῦ η. Θηρικλείου φίλος : ἐπὶ τῶν μεθυόντων· ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· ὁ γὰρ Θηρικλῆς πρῶτος εὗρε τὸ ἔκπωμα, ὥς φησιν Εὔβουλος· Καθαρώτερον δὲ τῶν κεράμων εἰργάσμη ν , ἢ Θηρικλῆς τὰ ἐκπώματ α .

8 91 Θηραμένης ἀνήρ : ἐπὶ τῶν πανούργων. Τὸ θ μετὰ τοῦ ρ.

8 92

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θρὶξ ὕστριχος : ἐπὶ τῶν εὐστόχως βαλλόντων ⁝ Ὀνύχων ἀκμαῖς καὶ ὀδόντων διατομαῖς θαῤῥοῦσι καὶ ἄρκοι καὶ λύκοι καὶ πάρδοι καὶ λέοντες· τὴν δὲ ὕστριχα ἀκούω ταῦτα μὲν οὐκ ἔχειν, οὐ μὴν ὅπλων ὑπὸ τῆς φύσεως ἀμυντηρίων ἀπολελεῖφθαι ἐρήμην. τοῖς γοῦν ἐπιοῦσιν ἐπὶ λύμῃ τὰς ἄνωθεν τρίχας οἱονεὶ βέλη ἐκπέμπει, καὶ στοχῶς βάλλει πολλάκις τὰ νῶτα φρίξασα· καὶ ἐκεῖναί γε πηδῶσιν, ὥσπερ ἔκ τινος ἀφειμέναι νευρᾶς. Τὸ θ μετὰ τοῦ υ.

8 93 Θυμὸς ἔσχατον γηράσκει : λέγεται διὰ τοὺς πρεσβυτέρους· ὅσον γὰρ γηράσκουσι τὸν θυμὸν ἐῤῥωμενέστερον ἔχουσι. Θύραζε Κᾶρας , οὐκέ τ ’ Ἀνθεστήρια : διὰ πλῆθος οἰκετῶν, ὡς ἐν τοῖς Ἀνθεστηρίοις εὐωχουμένων καὶ αὐτῶν.

8 95 Θυμόσοφος ἐστίν : ἐπὶ τῶν ὀξυμαθῶν καὶ εὐφυῶν. Θυννίζειν : ἀντὶ τοῦ κεντᾶν.

8 96 τριαίναις γὰρ τοὺς θύννους κεντοῦσιν. ἐξ οὗ καὶ Λουκιανὸς, θυννῶδες τὸ ἐνθύμημ α , ἀντὶ τοῦ ἀπότομον καὶ σκληρόν ⁝ Φασὶ δ ’ ὅτι τῆς τῶν ὡρῶν μεταβολῆς ἔχουσιν αἰσθητικῶς οἱ θύννοι, καὶ ἴσασι τροπὰς ἡλίου ὀξύτατα, καὶ δέονται τῶν τὰ οὐράνια εἰδέναι προσποιουμένων οὐδέν· ὅποι γὰρ αὐτοὺς χειμῶνος ἀρχὴ καταλάβῃ, ἀτρεμοῦσιν· ἀγαπητῶς· ὅτι δὲ τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσι, καὶ Αἰσχύλος ὁμολογεῖ λέγων, τὸ σκαιὸν ὄμμα βαλὼν θύννου δίκη ν . παρίασί τε εἰς τὸν Πόντον, καὶ κατὰ τὴν δεξιὰν αὐτῶν πλευρὰν τὴν γῆν λαμβάνουσι, καθ’ ἣν καὶ βλέπουσιν· ἐξιόντες τε αὖ κατὰ τὴν ἀντίπεραν νέουσι τῆς γῆς ἐχόμενοι, τὴν φρουρὰν τοῦ σώματος κατὰ τὸν ὁρῶντα τῶν ὀφθαλμῶν λαμβάνοντες. Ἀρχὴ τοῦ ι στοιχείου.

8 97t Τὸ ι μετὰ τοῦ α. Ἰαλέμου ψυχρότερος : Ἰάλεμον τὸν θρῆνον φασί.

8 97 λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης γενέσθαι κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν. Ἴαννος ἄλλος : ἐπὶ τῶν διπροσώπων.

8 98 τοιοῦτος γὰρ ὁ Ἴαννος. Ἰαίνεται τῇ διηγήσει τῶν τοιούτων λόγων : ἐπὶ τῶν διαχεομένων τὴν ψυχὴν καὶ χαιρόντων ἐπαίνοις.

8 100t Τὸ ι μετὰ τοῦ δ. Ἰδοὺ Ῥόδος , ἰδοὺ καὶ πήδημα : ὅτι πᾶς λόγος πέριττος ἐστίν, ἂν μὴ πρόχειρος ἡ ἀπόδειξις τοῦ πράγματος.

9 1t Τὸ ι μετὰ τοῦ ε. Ἱερὰ ἄγκυρα : ἡ μεγάλη βοήθεια.

9 1 ἄγκυρά ἐστιν ἐν τῇ νηῒ ἱερὰ καλουμένη, καὶ ὅτε μέγας καταλαμβάνει κίνδυνος τελευταία βάλλεται. Ἱερόσυλος θεοσεβεῖ : ἐπὶ τῶν κλεπτόντων μὲν, λειτουργίας δὲ καλὰς ποιουμένων.

9 3t Τὸ ι μετὰ τοῦ λ. Ἰλιὰς κακῶν ἐπῄει : ἐπὶ ταῖς μεγίσταις συμφορῶν κεχρημένων λέγεται.

9 4t Τὸ ι μετὰ τοῦ μ. Ἱματίῳ πῦρ περιστέλλεις : ἐπὶ τῶν ἀδυνάτων.

9 5 Ἱματισμὸς Διονυσίου : ἐπὶ τῶν ἄχρηστα πεμπόντων. ταῖς γὰρ θυγατράσι τοῦ Ἀρχιδάμου ἱματισμὸν πολυτελῆ Διονυσίου τοῦ τυράννου Σικελίας πέμψαντος, οὐκ ἐδέξατο εἰπὼν, φοβοῦμαι μὴ περιθέμεναι αἱ κόραι φανῶσί μοι αἰσχραί. Τὸ ι μετὰ τοῦ ν.

9 6 Ἵνα γὰρ δέο ς , ἔνθα καὶ αἰδώ ς . Τὸ ι μετὰ τοῦ π.

9 7 Ἱππομένους ἀσεβέστερος : διὰ τὸ ἐπὶ θυγατρὶ μῖσος· καὶ γὰρ αὐτὴν μοιχευθεῖσαν ἵππῳ συγκατέκλεισεν εἰς θοίνην· διὰ τοῦτο καὶ τὴν Κοδριδῶν ἀρχήν φασι καταλυθῆναι, ἐξ ὧν ἦν ἐκεῖνος. Ἵππῳ γηράσκοντι τὰ μείονα κύκ λ ’ ἐπίβαλλε : ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥαστώνης.

9 9 Ἱππόλυτον μιμήσομαι : ἐπὶ τῶν σωφρονεῖν βουλομένων. Ἵππου μὲν ἀρετὴν ἐν πολέμ ῳ , φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν ⁝ Λέγει Εὔδημος ἵππου νέας καὶ τῶν νεμομένων τῆς ἀρίστης ἐρασθῆναι τὸν ἱπποκόμον, ὥσπερ καλῆς μείρακος, καὶ τῶν ἐν τῷ χωρίῳ ὡρικωτέρας.

9 10 καὶ τὰ μὲν πρῶτα ἐγκαρτερεῖν, τελευτῶντα δὲ ἐπιτολμῆσαι τῷ λέχει τῷ ξένῳ καὶ ὁμιλεῖν αὐτῇ· τῇ δὲ εἶναι πῶλον, καὶ τοῦτον καλόν, θεασάμενόν γε τὸ πραττόμενον ἀλγῆσαι, ὥσπερ οὖν τυραννουμένης μητρὸς ὑπὸ τοῦ δεσπότου καὶ ἐμποδίσαι καὶ ἀποκτεῖναι τὸν ἄνδρα. εἶτα μέντοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ φυλάξαι ἔνθα ἐτάφη, καὶ φοιτῶντα ἀνορύττειν αὐτὸν καὶ ἐνυβρίζειν τῷ νεκρῷ ⋮ Μόνας δέ φασι τῶν ζῴων τὰς ἵππους καὶ κυούσας ὑπομένειν τῶν ἀῤῥένων μίξιν· εἶναι γὰρ λαγνιστάτας· διὰ ταῦτά τοι καὶ τῶν γυναικῶν τὰς ἀκολάστους ὑπὸ τῶν σεμνοτέρως αὐτὰς εὐθυνόντων ἵππους καλεῖσθαι. Ἵππον εἰς πεδίον διδάσκεις τρέχειν : ταχύτερος γάρ ἐστιν ἐν προσομάλῳ τόπῳ. [15]

9 12 Ἵππος με φέρει καὶ βασιλεύς με τρέφει : Κοῤῥαῖόν φασιν ὑπὸ Φίλιππον στρατευσάμενον ἱππέα τῆς μητρὸς δεομένης αἰτήσασθαι ἄφεσιν τῆς στρατείας, εἰπεῖν τοῦτο. Ἱππέας εἰς πεδίον προκαλῇ : ὅπερ ἔστι, τοὺς εὐδαιμονοῦντας εἰς ἅπερ εὐδαιμονοῦσιν ἔργα.

9 14t Τὸ ι μετὰ τοῦ ς. Ἴσως Ἐριννύς ἐστιν ἐκ τραγῳδίας : τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει.

9 15 Ἱστὸν ἀράχνης : ἐπὶ τῶν εὐπετῶς διαλυομένων καὶ φθειρομένων ⋮ Ὁ δὲ ἀράχνης λέγεται καὶ φάλαγξ· οὗτος δῶρα Ἐργάνης δαίμονος οὐκ οἶδε· τὸ δὲ γινόμενον αὐταῖς πάγη ἐστὶ καὶ οἷον κύρτος τοῖς ἐμπίπτουσιν· ἐντεῦθεν ἔχει καὶ τὴν δαῖτα. ἐμπίπτει δὲ ὅσον καὶ τὸ ὕφασμα κατέχει καὶ ἐκείνῳ δειπνεῖν ἀπόχρη ⋮ Οὐ μόνον δὲ ἡ φάλαγξ ἐστὶν ὑφαντικὴ καὶ εὔχειρ κατὰ τὴν Ἀθηνᾶν, τὴν Ἐργάνην τε καὶ Πηνῖτιν θεὰν, ἀλλὰ πέφυκε καὶ γεωμετρίαν δεινή· τὸ γοῦν κέντρον φυλάττει καὶ τὸν ἐξ αὐτοῦ κύκλον καὶ τὴν περιφέρειαν ἀκριβοῖ ἰσχυρῶς, καὶ Εὐκλείδου δέεται οὐδέν· κάθηται δὲ ἐν τῷ κέντρῳ μέσῳ ἐλλοχῶσα τὴν ἑαυτῆς ἄγραν· ἔστι δὲ ὡς ἰδόντι εἰπεῖν καὶ ὑφάντρια γενναία καὶ ἀκεστικὴ εὐπάλαμος. καὶ ὅ τι ἂν διαῤῥήξῃς τῆς εὐπήνου τε καὶ εὐμίτου σοφίας ἐκείνης, ἥδε ἀνακοῦται, καὶ ἀπαθὲς καὶ ὁλόκληρον αὖθις ἀποδείκνυται. Ἴσα πόλεμον οὐ ποιε ῖ . [15]

9 17 Ἰσότης φιλότη ς . Τὸ ι μετὰ τοῦ χ.

9 18 Ἰχθὺς ἐκ τῆς κεφαλῆς ὄζειν ἄρχεται : ἐπὶ τῶν ἐπιστάτας φαύλους ἐχόντων. Ἰχθὺν νήχεσθαι διδάσκεις : ἐπὶ τῶν διδασκόντων τινὰς ἃ ἐπίστανται.

9 20t Ἀρχὴ τοῦ κ στοιχείου. Τὸ κ μετὰ τοῦ α. Κακοῦ κόρακος κακὸν ὠόν : Κόραξ τις συνετὸς ἀνὴρ κεχρῆσθαι πράγμασιν ἱκανός, συνιδὼν ὅτι οὐχ ὅμοιον τυράννῳ διακονεῖσθαι καὶ δήμου γνώμην χειρώσασθαι, ἀπελθὼν συνέθηκε τέχνην περὶ προοιμίων καὶ διηγήσεων καὶ ἀγώνων καὶ ἐπιλόγων, δι’ ὧν τὸν δῆμον ἔπειθεν. [5]

9 20 ἐντεῦθεν προῄει βοῶν καὶ παρακαλῶν τὸν βουλόμενον μαθεῖν ἐπὶ ῥητῷ μισθῷ χιλίων δραχμῶν· ὁ τοίνυν Σιτίας προσῆλθε μαθεῖν καὶ μαθὼν ἠγνωμόνησεν αὐτῷ περὶ τὸν μισθόν. καὶ ἐπὶ τούτῳ συνέστη δικαστήριον, καὶ τῶν κριτῶν συνελθόντων ἔφη ὁ Κόραξ διλημμάτῳ χρησάμενος· ὡς εἰ μὲν νικήσει ὁ Σιτίας, ὤφειλε παρασχεῖν, ὠφέληται γάρ· εἰ δὲ μὴ νικήσει, καὶ οὕτως ὤφειλε παρασχεῖν, ἡττήθη γάρ. Ὁ δὲ Σιτίας πρὸς ταῦτα λέγων ἀπεκρίνατο· ὡς εἰ μὲν νικήσω οὐκ ὤφειλον παρασχεῖν, νενίκηκα γάρ· εἰ δὲ μὴ νικήσω οὐκ ὤφειλον παρασχεῖν, οὐ γὰρ ὠφελήθην. ἀπορήσαντες οὖν οἱ δικασταὶ ἀνεβόησαν λέγοντες, κακοῦ κόρακος κακὸν ὠό ν . Ἢ ὅτι τὸ ζῷον ὁ κόραξ ἄβρωτόν ἐστι καὶ τὸ ὠὸν αὐτοῦ ⋮ ἢ ὅτι ὁ κόραξ ἤδη γέρων ὢν ὅταν μὴ δύνηται τρέφειν τοὺς νεοττούς, ἑαυτὸν αὐτοῖς προτείνει τροφήν· οἱ δὲ ἐσθίουσι τὸν πατέρα· κἀντεῦθεν ἡ παροιμία ⋮ Λέγεται καὶ τοῦτο περὶ κοράκων· ὅτι ὀρνίθων πολυκλαγγότατός τε καὶ πολυφωνότατος ἐστί· μαθὼν δὲ ἀνθρωπίνην πρόεισι φωνήν. φθέγμα δὲ αὐτοῦ παίζοντος μὲν ἄλλο, σπουδάζοντος δὲ ἕτερον· εἰ δὲ ὑποκρίνοιτο τὰ ἐκ θεῶν, ἱερὸν ἐνταῦθα καὶ μαντικὸν φθέγγεται· οἶδε δὲ καὶ διὰ τοῦ θέρους ἐνοχλούμενος ῥύσιν γαστρός, καὶ διὰ ταῦτα ἑαυτὸν ὑγρᾶς τροφῆς ἄγευστον φυλάττει ⋮ Οἱ Λίβυες δὲ κόρακες, ὅταν οἱ ἄνθρωποι φόβῳ δίψους ὑδρασάμενοι πληρώσωσιν ἀγγεῖα ὕδατος, καὶ κατὰ τῶν τεγῶν θέντες ἐάσωσι τῷ ἀέρι τὸ ὕδωρ φυλάττειν ἄσηπον, ἐνταῦθα εἰς ὅσον μὲν αὐτοῖς τὰ ῥάμφη κάτεισιν ἐγκύπτοντες, χρῶνται τῷ ποτῷ· ὅταν δὲ ὑπολήξῃ, ψήφους κομίζουσι καὶ τῷ στόματι καὶ τοῖς ὄνυξι, καὶ ἐμβάλλουσιν· εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν κέραμον· καὶ αἱ μὲν ἐκ τοῦ βάρους ὠθοῦνται, καὶ ὑφιζάνουσι, τό γε μὴν ὕδωρ θλιβόμενον ἀναπλεῖ· καὶ πίνουσιν εὖ μάλα εὐμηχάνως εἰδότες φύσει τινὶ ἀποῤῥήτῳ δύο σώματα μίαν χώραν μὴ δέχεσθαι ⋮ Φησὶ δὲ Ἀριστοτέλης εἰδέναι αὐτοὺς διαφορὰν γῆς εὐδαίμονός τε καὶ λυπηρᾶς, καὶ ἐν τῇ παμφόρῳ καὶ πολυφόρῳ κατά γε ἀγέλας καὶ πλήθη φέρεσθαι, ἐν δὲ τῇ ἀγόνῳ καὶ στερίφῃ κατὰ δύο. Καὶ τὸν ἀπὸ γραμμῆς κινεῖ λίθον : ἤτοι, ἀπ’ ἀρχῆς βάλλει.

9 22 Καὶ ἐπὶ τῷ βωμῷ τὸν ἐπίβουλον : λείπει, χρὴ κτείνειν. Ἀγασικλῆς ὁ Λακεδαιμονίων βασιλεὺς ἐφεστώς ποτε τῷ βωμῷ τῆς Χαλκιοίκου καὶ βουθυτῶν, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν οὐ διετράπη, λαβὼν δὲ περιφανῶς ἐναντίον πάντων ἀπέκτεινε προσειπών, νὴ τοὺς θεοὺς ἡδέως τὸν ἐπίβουλον καὶ ἐπὶ τῷ βωμῷ. Κακὴ μὲν ὄψι ς , ἐν δὲ δειλίᾳ φρένε ς .

9 24 Καὶ βαίτυλον ἂν κατέπιες : ἐπὶ τῶν ἄγαν λιμβῶν. Βαίτυλος δέ ἐστιν ὁ ἐσπαργανωμένος λίθος, ὃν Κρόνος κατέπιεν ἀντὶ τοῦ Διός. Καταφρόνει θανάτου : ὅτι οἱ τοιοῦτοι μεγίστην ἑαυτοῖς δόξαν περιποιοῦσι.

9 25 Παραινετική. Κανθάρου μελάντερος : καί· Κανθάρου σοφώτερος : ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων· Κάνθαρος γάρ τις πονηρὸς ἐγένετο ⋮ Κάνθαρος ἄθηλυ ζῷον ἐστί, σπείρει δὲ εἰς τὴν σφαῖραν ἣν κυλίει· ὀκτὼ δὲ καὶ εἴκοσι μερῶν τοῦτο δράσας καὶ θάλψας αὐτήν, εἶτα μέντοι τῇ ἐπὶ ταύταις προάγει τὸν νεοττόν.

9 26 Αἰγυπτίων δὲ οἱ μάχιμοι ἐπὶ τῶν δακτυλίων εἶχον ἐγγεγλυμένον κάνθαρον αἰνιττομένου τοῦ νομοθέτου, δεῖν ἄῤῥενας εἶναι πάντας πάντῃ τοὺς μαχομένους ἐπὶ τῆς χώρας, ἐπεὶ καὶ ὁ κάνθαρος θηλείας φύσεως οὐ μετείληχεν. Καρκίνος λαγὼν αἱρεῖ : ἐπὶ τῶν ἀδυνάτων.

9 28 Κατὰ μυὸς ὄλεθρον : ἐπὶ τῶν κατὰ μικρὸν ἀποῤῥεόντων καὶ ὑπεκχωρούντων τοῦ βίου ⋮ Οἱ γὰρ μῦς ἀποθνήσκοντες καθ’ ἑαυτοὺς ἐκ μηδεμιᾶς ἐπιβουλῆς, ἀποῤῥεόντων αὐτοῖς τῶν μελῶν, κατὰ μικρὸν ἀπέρχονται τοῦ βίου. λέγουσι δὲ αὐτοὺς καὶ λαγνιστάτους εἶναι· καὶ μαρτυρεῖ Κρατῖνος ἐν Δραπέτεσι· Φέρε νῦν σοι ἐξ αἰθρίας καταπυγοσύνην μυὸς ἀστράψω Ξενοφῶντο ς . Ὁ δὲ θῆλυς εἰς τὰ ἀφροδίσια λυττικὸς, ὡς Ἐπικράτης φησί· Τελείως δ ’ εὖ με ὑπῆλθεν ἡ κατάρατος μαστροπὸς ἐπομνύουσα τὰν Κόρα ν , τὰν Ἄρτεμι ν , τὰν Φαραφάττα ν , ὡς δάμαλι ς , ὡς παρθένο ς , ὡς πῶλος ἀδμής · ἡ δ ’ ἄρα ἦν μυωνία · Εἰς ὑπερβολὴν δὲ λαγνιστάτην αὐτὴν εἰπεῖν θέλων, μυωνίαν ὅλην ὠνόμασε· καὶ Φιλήμων · μῦς λευκὸς ὅταν τις αὐτὴ ν , ἀλ λ ’ αἰσχύνομαι λέγει ν , κέκραγεν τηλικοῦτον εὐθὺς ἡ κατάρατος μαστροπὸς ὥσ τ ’ οὐκ ἔστι πολλάκις λαθεῖ ν . Κακῶν πανήγυρις : ἐπὶ πλήθους κακῶν.

9 30 Καδμεία νίκη : ἡ ἐπὶ κακῶν νίκη. Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης υἱοὶ Οἰδίποδος, τινὲς δὲ Κάδμου, οὗ τὴν βασιλείαν οἱ υἱοὶ διεδέξαντο, συνέθεντο πρὸς ἀλλήλους ἕνα καὶ ἕνα χρόνον βασιλεύειν αὐτούς· βασιλεύσας δὲ ὁ Ἐτεοκλῆς οὐκ ἐβούλετο Πολυνείκην κατὰ τὸ δόξαν βασιλεῦσαι, καὶ τῷ πολέμῳ ἀλλήλους διεχειρίσαντο, καὶ ἐπὶ κακῷ νενικήκασιν, ὅτι ὁ ἕτερος ἀνεῖλε τὸν ἕτερον. Καὶ τίς ἂν ταύτην τὴν πόλιν ἐπαινοίη δεόντω ς , ἣν οὐδεὶς ἔστερξε γενόμενος βελτίω ν ; εἴρηται διὰ τὸ φθόνῳ τοὺς βελτίστους ὑπερορίζεσθαι.

9 32 Κακῶς ἀκούειν πρός σέ ἐστι καὶ ἄλλως : ἀντὶ τοῦ, σὺ εἶ σαυτῷ καὶ τοῦ ἐπαινεῖσθαι καὶ τοῦ ψέγεσθαι αἴτιος. Καὶ Ἡρακλῆς παρὰ τῶν ἀναισθήτων ἰσχὺν ἐλάμβανεν : ὅτι καὶ ἀπ’ ἐλαχίστων ἐστὶν εὑρεῖν τι ἀγαθόν.

9 34 Κα θ ’ ἑαυτοῦ Βελλεροφόντης : ἐπὶ τῶν καθ’ ἑαυτῶν τι ποιούντων. Κἂν αἲξ δάκῃ ἄνδρα πονηρό ν .

9 36 Κακὸν ἄγγος οὐ κλᾶται : παραπλησία τῇ· Κακὸς ἀνὴρ μακρόβιο ς . Κατὰ θεὸν ἥκεις : ἀντὶ τοῦ, ἐγκαίρως.

9 38

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κατὰ βοὸς εὔχου : ἐπὶ τῶν μέγα βοώντων. Καύνιος ἔρως : ἐπὶ τῶν μὴ κατορθουμένων ἐπιθυμιῶν.

9 39 Καύνου γὰρ ἐρασθεῖσα ἡ ἀδελφὴ καὶ μὴ τυχοῦσα τοῦ ἔρωτος ἀνεῖλεν ἑαυτήν. Κανθάρου σκιά : ἐπὶ τῶν φοβουμένων ἔνθα οὐ δεῖ.

9 41 Κἂν ἐπὶ νεκροῦ κερδαίνειν : ἐπὶ τῶν κερδαινόντων ἐκ πενήτων ἢ τεθνεώτων. Καιρὸς ψυχὴ πράγματο ς .

9 43 Καλῶς πένεσθαι μᾶλλον , ἢ πλουτεῖν κακῶς : Κράτωνος. Κατόπιν ἑορτῆς ἥκεις : ἐπὶ τῶν καλοῦ πράγματος ἀπολιμπανομένων.

9 45 Κατὰ πυρὸς ξαίνεις : ἐπὶ τῶν ἀδυνάτων. ὁμοία τῇ, Κατὰ πετρῶν σπείρει ς . Κασιωτικὸν ἅμμα : ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους.

9 46 οὗτοι γὰρ ἅμματά τινα δύσλυτα ἐπιτεχνάζονται. Κακὴ πρόσοδος : ἐπὶ τῶν μετὰ τὴν μίξιν τὸν συγκείμενον μισθὸν κομιζομένων.

9 48 Κατὰ ποδὸς βάσιν : ἐπὶ τῶν κατὰ μικρόν τι πραττόντων καὶ μετὰ τέχνης. ὅμοιον τῷ, Ἐν νυκτὶ βουλ ή . Καὶ δρῦς μαινὰς ἐγένετο : ἐπὶ τῶν μόγις κηλουμένων βίᾳ ἠτινιοῦν· φασὶ γὰρ καὶ δρῦν ἐρασθῆναι Ὀρφέως ᾠδῆς ἕνεκεν.

9 50 Καρκίνος ὀρθὰ βαδίζειν οὐ μεμάθηκεν : ἐπὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων περί τι φαῦλον ⋮ Ἡ πίνν α , θαλάττιον ζῷον, καὶ ἔστι τῶν ὀστρείων· κέχηνε δὲ τῇ διαστάσει τῶν περικειμένων ὀστράκων, καὶ προτείνει σαρκίον ἐξ ἑαυτῆς οἱονεὶ δέλεαρ τῶν ἰχθύων τοῖς παρανηχομένοις· ὁ καρκίνος δὲ αὐτῇ παραμένει σύντροφός τε καὶ σύννομος. οὐκοῦν ὅταν τι τῶν ἰχθύων προσνέῃ, ὁ δὲ ὑπένηξεν ἡσυχῇ αὐτήν. καὶ ἐδέξατο ἔσω τοῦ ἐπιόντος ἰχθύος τὴν κεφαλήν—καθίησι γὰρ ὡς ἐπὶ τροφῇ—καὶ ἐσθίει αὐτήν. Καὶ μία μείζων βία τῶν Μηνιάδων : ἐπὶ τῶν ἀφορήτοις περιπεσόντων δεινοῖς. [5]

9 51 Εὐφορίων λέγει τὴν Σάμον ἐν τοῖς παλαιοτάτοις χρόνοις ἐρήμην γενέσθαι, φανῆναι γὰρ ἐν αὐτῇ θηρία μεγέθει μὲν μέγιστα, ἄγρια δὲ προσπαλαῖσαι, καλεῖσθαι δὲ Μηνιάδας, ἅπερ οὖν καὶ μόνῃ τῇ βοῒ ἐῤῥήγνυ τὴν γῆν· κἀντεῦθεν διαῤῥεῖν λέγεται τὴν παροιμίαν ἐν Σάμῳ. Καρικὸς τράγος : ἐπὶ τῶν εὐτελῶν. [5]

9 53 Καρικὸς τάφος : ἐπὶ τῶν πολυτελῶν. Κακά τοι φάμα κακκέχυτα ι .

9 54 ταύτην ἀπόθευ ἢ μὴ ἔσο : Λάκαινά τις ἀκούσασα περὶ τοῦ υἱοῦ ὡς κακῶς ἐπὶ ξένης ἀναστρέφοιτο, τοῦτ’ ἔγραψεν. Καθώσπερ αἱ τίτθαι σιτίζεις κακῶς : ἐπὶ Κλέωνος ἐῤῥήθη, ὃς ὀλίγα τῷ δήμῳ χαριζόμενος τὰ πλείω ἐκέρδαινε.

9 55 λέγεται δὲ, ὅταν προφάσει τινὸς λαμβάνων τις χρήματα κατεσθίει αὐτά. αἱ γὰρ τίτθαι διαμασώμεναι τὰς τροφάς, ἐξαίρουσαι τοῦ στόματος τοῖς τῶν παιδίων ἐντιθέασιν· εἶτα συμβαίνει αὐτὰς ὀλίγα μὲν τοῖς παιδίοις διδόναι, τὰ πλείω δὲ κατεσθίειν. Καρκίνον δασύποδι συγκρίνεις : ἐπὶ τῶν τὰ ἀνόμοια παρατιθεμένων. [5]

9 57 Κακὸν τὸ καλὸ ν , ἥν τι μὴ καιροῦ τύχ ῃ . Κακὸν δῶρο ν , ἴσον ζημί ᾳ .

9 59 Κατὰ ῥοῦν φέρεται : ἐπὶ τῶν εὐπλοούντων καὶ εὐτυχούντων. Καὶ τὸ ἄμεινον εἰς τοὐναντίον ἀποτελευτ ᾷ .

9 61 Κα τ ’ αἶγας ἀγρίας : ὁμοία τῇ, Ἐς κόρακα ς . Κακὰ μὲν θρίπες , κακὰ δὲ ἶπες : ἄμφω γὰρ λυμαντικοί· καὶ οἱ μὲν τὰ ξύλα, οἱ δὲ τὰ κρέατα ἐσθίουσι.

9 63 Κατὰ βῆμα τῆς ἀρετῆς μέμνησο : Λάκαινα ἐπ’ ἀδικήματι τῷ παιδὶ κρινομένῳ τοῦτ’ εἶπε τἀπόφθεγμα. Τὸ κ μετὰ τοῦ ε.

9 64

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κερκωπίζειν : ἀντὶ τοῦ, ἀπατᾷν καὶ δολιεύεσθαι· μετήνεκται δὲ ἀπὸ τῶν Κερκώπων οὕτω λεγομένων ἀνδρῶν. ὧν τὰ ὀνόματα ἀναγράφει Αἰσχίνης ὁ Σαρδιανὸς ἐν τοῖς ἰάμβοις, Ἀνδοῦλον καὶ Ἄτλαντον αὐτοὺς ὀνομάζων. Ξεναγόρας δὲ Πιθήκους αὐτοὺς καλεῖ, ἐξ ὧν κληθῆναι καὶ τὰς Πιθηκίνους νήσους. Κέντει τὸν πῶλον περὶ τὴν νύσσαν : ἤτοι πρὸς τὸ προκείμενον ἐπάνηκε.

9 65 νύσσα δέ ἐστιν ὁ καμπτός, καθ’ ὃν οἱ ἱππεῖς δρόμῳ φθάνοντες ἔκαμπτον καὶ εἰς τὴν ὕσπληγκα ἐπανήρχοντο. ὁ δὲ πρῶτος φθάσας ἐταινιοῦτο. Κενὰ κενοὶ βουλεύοντα ι .

9 67 Κεναῖσιν ἐλπίσι θερμαίνεται : ἐπὶ τῶν μάτην ἐλπιζόντων. Κέρδος αἰσχύνης ἄμεινον : ἐπὶ τῶν διὰ κέρδος αἰσχύνην προσποριζόντων ἑαυτοῖς καὶ μὴ ἐπιστρεφομένων ταύτης.

9 69 Κερκυραία μάστιξ : ἐπὶ τῶν μεγάλων μαστίγων· τοιαύτας γὰρ εἶχον οἱ Κερκυραῖοι. Κέσκων πόλις : ἐπὶ τῶν ἀνοήτων· οἱ γὰρ ἐν ταύτῃ κατοικοῦντες τῇ πόλει τοιοῦτοι.

9 71 Κεραμέως πλοῦτος : ἐπὶ τῶν σαθρῶν καὶ ἀβεβαίων καὶ εὐθράστων. Κεραμεὺς ἄνθρωπος : ἐπὶ τοῦ σαθροῦ.

9 73 Κενταύρων ὕβριν μεμίμηται : ἐπὶ τῶν ἐπὶ πλούτῳ γαυριώντων καὶ ὑβριζόντων ⋮ Λέγεται δὲ τοὺς Κενταύρους, ὡς θηρία ἐγένοντο, καὶ ἵππον μὲν εἶχον ὅλην τὴν ἰδέαν πλὴν τῆς κεφαλῆς· εἴτις οὖν πείθεται τοιοῦτον θηρίον γενέσθαι, ἀδυνάτοις πιστεύει· οὔτε γὰρ ἡ φύσις σύμφωνος ἵππου καὶ ἀνδρός, οὔτε ἡ μορφὴ ὁμοία, οὔτε διὰ στόματος καὶ φάριγγος ἀνθρωπείου δυνατὸν ἵππου τροφὴν διελθεῖν· εἰ δὲ τοιαύτη ἰδέα τότε ἦν, καὶ νῦν ἂν ὑπῆρχε. τὸ δὲ ἀληθὲς ἔχει ὧδε· Ἰξίονος, βασιλέως ὄντος Θεσσαλίας, ἐν τῷ Πηλίῳ ὄρει ἀπηγριώθη ταύρων ἀγέλη, καὶ τὰ λοιπὰ τῶν ὀρῶν ἄβατα ἐποίει· εἰς γὰρ τὰ οἰκούμενα κατιόντες οἱ ταῦροι ἔσινον τὰ δένδρα καὶ τοὺς καρποὺς καὶ ὑποζύγια διέφθειρον. ἐκήρυξεν οὖν ὁ Ἰξίων, ὡς εἴτις οὖν ἕλοιτο τοὺς ταύρους, δώῃ χρήματα πάμπολλα. νεανίσκοι δέ τινες ἐκ τῆς ὑπερορίας ἐκ κώμης τινὸς καλουμένης Νεφέλης ἐπινοοῦσιν ἵππους κέλητας διδάξαι· πρότερον γὰρ οὐκ ἠπίσταντο ἐφ’ ἵππων ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν ἐχρῶντο. οὕτω δὲ ἀναβάντες τοὺς κέλητας ἤλαυνον ἐφ’ οὗ οἱ ταῦροι ἦσαν, καὶ ἐπεισβάλλοντες ἐν τῇ ἀγέλῃ ἠκόντιζον· καὶ ὅτε μὲν ἐδιώκοντο ὑπὸ τῶν ταύρων, ἔφευγον οἱ νεανίαι· ποδωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι· ὅτε δὲ ἔστησαν οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον· καὶ τοῦτον τὸν τρόπον ἀνεῖλον αὐτούς. καὶ τὸ μὲν ὄνομα ἐντεῦθεν ἔλαβον οἱ Κένταυροι, ὅτι τοὺς ταύρους ἐκέντουν· οὐδὲν γὰρ πρόσεστι ταύρου τοῖς Κενταύροις, ἀλλ’ ἵππου καὶ ἀνδρὸς ἰδέα ἐστὶν ἀπὸ τοῦ ἔργου· λαβόντες οὖν οἱ Κένταυροι τὰ Ἰξίονος χρήματα καὶ γαυριῶντες ἐπὶ τῇ πράξει καὶ τῷ πλούτῳ, ὑβρισταὶ ὑπῆρχον καὶ ὑπερήφανοι καὶ πολλὰ κακὰ εἰργάζοντο, καὶ δὴ καὶ κατ’ αὐτοῦ Ἰξίονος, ὃς ᾤκει τὴν καλουμένην Λάρισαν πόλιν· οἱ δὲ τότε τοῦτο τὸ χωρίον οἰκοῦντες Λαπίθαι ἐκαλοῦντο· κεκλημένοι δὲ οἱ Κένταυροι παρὰ τῶν Λαπίθων ἐπὶ θοίνην, μεθυσθέντες ἁρπάζουσι τὰς γυναῖκας αὐτῶν, καὶ ἀναβιβάσαντες ἐπὶ τοὺς ἵππους αὐτὰς ᾤχοντο εἰς τὴν οἰκείαν φεύγοντες, ὅθεν ὡρμῶντο. ἐπολέμουν οὖν τοῖς Λαπίθαις, καὶ καταβαίνοντες διὰ νυκτὸς εἰς τὰ πεδία ἐνέδρας ἐποίουν. ἡμέρας δὲ γενομένης ἁρπάζοντες ἀπέτρεχον ἐπὶ τὰ ὄρη. οὕτως δ’ ἀπερχομένων αὐτῶν ἵππων οὐραὶ καὶ ἀνθρώπων κεφαλαὶ μόνον ἐφαίνοντο· ξένην οὖν ὁρῶντες θέαν ἔλεγον, Οἱ Κένταυροι ἡμᾶς κατατρέχοντες ἐκ Νεφέλης πολλὰ κακὰ ἐργάζονται. ἀπὸ δὴ ταύτης τῆς ἰδέας καὶ τοῦ λόγου ὁ μῦθος ἐπλάσθη, ὡς ἐκ νεφέλης ἵππος τε καὶ ἀνὴρ ἐγεννήθη ἐν τῷ ὄρει. Κεκύλισται ὁ πίθος : ἐπὶ τῶν κατὰ μίμησιν ἑτέρων μάτην τι ποιούντων.

9 75 Κερκιώνων ἐλευθερία : ἐπὶ τῶν ἀδεσπότως ζῆν ἐθελόντων ⋮ Γίνεται ἐν τοῖς Ἰνδοῖς ὄρνις ὄνομα κερκίων, μέγεθος κατὰ ψᾶρας, καὶ ἔστι ποικίλον καὶ μουσωθὲν ἀνθρώπων φωνήν. εἶτα μέντοι τῶν ψιττακῶν ἐστι λαλίστερόν τε καὶ θυμοσοφώτερον. οὐ μὴν τὴν ἐξ ἀνθρώπων τροφὴν ἡδέως ὑπομένει, ἀλλὰ ἐλευθερίας πόθῳ καὶ παῤῥησίας κατὰ τὴν συντροφίαν ἐπιθυμίᾳ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀσπάζεται λιμὸν μᾶλλον ἢ δουλείαν μετὰ τρυφῆς, καὶ καλεῖται κερκίων, ἐπειδὴ καὶ αὐτὸς διασείει τὸν ὄῤῥον, ὥσπερ οὖν καὶ οἱ κίγκλοι. Κεστρεὺς νηστεύει : ἐπὶ τῶν λαιμάργων· ἄπληστον γὰρ τὸ ζῷον.

9 77t Τὸ κ μετὰ τοῦ η. Κηρὸν τοῖς ὠσὶν ἐπαλείφεις : ἐπὶ τῶν παραιτουμένων ἀκοῦσαί τινων εἴτε φαύλων εἴτε σπουδαίων.

9 78t Τὸ κ μετὰ τοῦ ι. Κιλίκιοι τράγοι : οἱ δασεῖς· ὅθεν καὶ τὰ ἐκ τριχῶν κιλίκια λέγεται.

9 79 Κινεῖς τὸν ἀνάγυρον : ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. ἔστι δὲ ὁ ἀνάγυρος ἄνθος, ὃ τριβόμενον ὄζει, καὶ δῆμος τῆς Ἀττικῆς, καὶ ὄνομα κύριον ἥρωος. τούτου δέ τις ἔκοψε τὸ ἄλσος· ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἀπέμηνε τὴν παλακήν. ἥτις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα, διέβαλλεν ὡς ἀσελγῆ τῷ πατρί· ὁ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν, ἡ δὲ παλακὴ εἰς φρέαρ ἑαυτὴν ἔῤῥιψεν· ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδιοποιῶν, ἀπεικάζων τούτοις τὸν Εὐριπίδου Φοίνικα. ὅταν οὖν ἐπὶ οἰκείοις κακοῖς πράσσῃ τίς, λέγεται, Κινήσεις τὸν ἀνάγυρο ν . Κινήσω τὴν ἀ φ ’ ἱερᾶς : ἐπὶ τῶν τὰ ἔσχατα κινδυνευόντων.

9 81 Κινδυνώδης ἡ ἐν πρώρᾳ σελλίς : οἱ γὰρ πολέμιοι πρῶτα τὴν πρώραν κατέχουσιν. Κίγκλου πενέστερος : ὁ κίγκλος ζῷόν ἐστι πτηνὸν ἀσθενὲς τὸ κατόπιν· καὶ διὰ τοῦτό φασι μηδὲ ἰδίᾳ μηδὲ καθ’ ἑαυτὸν δυνάμενον αὐτὸν νεοττιὰν συμπλέξαι, ἐν τοῖς ἄλλοις τίκτειν· ἔνθεν καὶ τοὺς πτωχοὺς κίγκλους ἐκάλουν.

9 82 κινεῖ δέ οἱ τὰ οὐραῖα πτερά, ὥσπερ οὖν ὁ παρὰ τῷ Ἀρχιλόχῳ κηρύλος. Τὸ κ μετὰ τοῦ λ.

9 83 Κλαίει ὁ νικήσας · ὁ δὲ νικηθεὶς ἀπόλωλεν : Ἀθηναῖοι νικηθέντες ἀπώλοντο· Φίλιππος νικήσας, ὑπὸ Παυσανίου ἀνῃρέθη. Κλιτοριάζειν : ἐπὶ τῶν παιδεραστῶν· ἢ ἐπὶ τῶν γυναιξὶν ἀκολάστων.

9 85t Τὸ κ μετὰ τοῦ ν. Κνὶψ ἐκ χώρας : ἐπὶ τῶν τάχυ πηδώντων· ὁ γὰρ κνὶψ τὸ θηρίον τοιοῦτον.

9 86t Τὸ κ μετὰ τοῦ ο. Κόσμει σπάρταν , ἣν ἔλαχες : ἐπὶ τῶν κοσμούντων τὸ κληρονομιαῖον γήδιον· σπαρτίῳ γὰρ ἐκληροδοτοῦντο.

9 87 Κορώνη γράμμα κομίζει : ἐπὶ τῶν ἀγγελίας ταχείας φερόντων ⋮ Τῷ γὰρ βασιλεῖ τῶν Ἰνδῶν, Μάρης οὗτος ἐκαλεῖτο, ἦν κορώνη θρέμμα πάνυ ἥμερον· καὶ τῶν ἐπιστολῶν ἃς ἐβούλετό οἱ κομισθῆναί που θᾶττον ἐκόμιζεν αὕτη, καὶ ἦν ἀγγέλων ὠκίστη, καὶ ἀκούσασα ᾔδει, ἔνθα ἰθῦναι χρὴ τὸ πτερὸν καὶ τίνα χρὴ παραδραμεῖν χῶρον, καὶ ὅπου ἤκουσαν ἀναπαύσεσθαι, ἀνθ’ ὧν ἀποθανοῦσαν αὐτὴν ὁ Μάρης ἐτίμησε καὶ στήλῃ καὶ τάφῳ ⋮ Λέγεται καὶ τοῦτο περὶ κορωνῶν, ὅτι ἀλλήλαις εἰοὶ πιστόταται, καὶ ὅταν εἰς κοινωνίαν συνέλθωσι, πάνυ σφόδρα ἀγαπῶσιν ἀλλήλας· καὶ οὐκ ἂν ἴδοι τις μιγνύμενα ταῦτα τὰ ζῷα ἀνέδην καὶ ὡς ἔτυχε· κἂν ἀποθάνῃ τὸ ἕτερον, τὸ λοιπὸν χηρεύει. ἐπεὶ δὲ ἡ γλαῦξ ἐστιν αὐτῇ πολέμιον, καὶ νύκτωρ ἐπιβουλεύει τοῖς ᾠοῖς τῆς κορώνης, ἡ δὲ μεθ’ ἡμέραν ἐκείνην ταὐτὸ δρᾷ. Κοινὰ τὰ τῶν φίλω ν .

9 89 Κοσκίνῳ μαντεύεται : ἐπὶ τῶν εὐτελῶν μάντεων. Κόρακες ἀηδόνων αἰδεσιμώτεροι : ἐπὶ τῶν ἀνομοίων.

9 91 Κοσκίνῳ ὕδωρ φέρει : ἐπὶ τῶν ἀδυνάτων. Κορυδέως εἰδεχθέστερος : ἐπὶ δυσμορφίᾳ οὗτος διεβάλλετο.

9 93 Κολοφῶνα κακῶν ἐπέθηκας : ἤτοι τὸ τέλειον καὶ πλῆρες. Κολοφωνία ὕβρις : ἐπὶ τῶν πλουσίων καὶ ὑβριστικῶν· τοιοῦτοι γὰρ οἱ Κολοφώνιοι.

9 95 Κουρήτων στόμα : ἐπὶ τῶν μαντεύεσθαι ὑπισχνουμένων· μαντικοὶ γὰρ οἱ Κρῆτες. Κοινὸν ναυάγιον τοῖς πᾶσι παραμύθιον : ὅτι ῥᾳδίως φέρουσιν ἄνθρωποι τὰς συμφοράς, ὁρῶντες καὶ ἄλλους τἀυτὸ παθοῦντας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

9 97 Κόκκος σίτου προυξένησε θάνατον : ἐπὶ τῶν διὰ κέρδος εὐτελὲς μέγαν ὑφισταμένων κίνδυνον. Κόττου ἰσχυρότερος καὶ Βριάρεω : φασὶ περὶ τούτων ὡς ἔσχον ἑκατὸν χεῖρας ἄνδρες ὄντες.

9 98 πῶς δὲ οὐκ εὔηθες τὸ τοιοῦτον; τὸ δ’ ἀληθὲς οὕτως ἔχει· τῇ πόλει ὄνομα ἦν Ἑκατονταχειρία, ἐν ᾗ ᾤκουν. ἦν δὲ πόλις τῆς καλουμένης Ὀρεστιάδος. ἔλεγον οὖν οἱ ἄνθρωποι, Κόττος καὶ Βριάρεως οἱ ἑκατοντάχειρες βοηθήσαντες τοῖς θεοῖς, ἐξήλασαν τοὺς Τιτᾶνας ἐκ τοῦ Ὀλύμπου. Κορώνη τὸν σκορπίον : ἐπὶ τῶν ἑαυτοῖς λανθανόντως κακόν τι ἐπισπωμένων. [5]

9 99 ὁμοία ταῖς· Κόνιν φυσᾷ ς . Εὖ κείμενον κακὸν κινεῖ ς . Λέοντα νύσσει ς . Ἀνάγυρον κινεῖ ς . Κόρκορος ἐν λαχάνοις : ἐπὶ τῶν εὐτελῶν μὲν ὄντων, μεγάλοις δὲ παραβαλλόντων ἑαυτούς· εἶδος γάρ ἐστι βοτάνης ὁ κόρκορος εὐτελοῦς.

10 1 Κοινὸς Ἑρμῆς : οἷον, κοινὸν τὸ εὕρεμα· κλεπτίστατος γὰρ ὢν ὁ Ἑρμῆς κατέδειξε κοινὰ εἶναι τὰ φώρεια. Κομπᾶς Μάξιμος : ἐπὶ τῶν ὑπὲρ τὸ δέον φρονεῖν οἰομένων· οὗτος γὰρ ὁ Μάξιμος ἀλαζὼν ἐγένετο.

10 3 Κοροίβου ἠλιθιώτερος : οὗτος γὰρ τὰ κύματα τῆς θαλάσσης ἠρίθμει. Τὸ κ μετὰ τοῦ ρ.

10 4 Κραδίην δ ’ ἐλάφοιο : δηλονότι ἔχει· ἐπὶ τῶν ἄγαν δειλῶν ⋮ Ἡ γὰρ ἔλαφος τῇ δειλίᾳ παρὰ τὰς ὁδοὺς τίκτει, σοφίᾳ τοῦτο δρῶσα. δέδοικε γὰρ τὰ θηρία καὶ τὰς ἐξ αὐτῶν ἐπιβουλάς, τοὺς δὲ ἀνθρώπους μᾶλλον θαῤῥεῖ, ὅτι ἐκείνων μὲν πέφυκεν ἀσθενεστέρα οὖσα, τούτους δὲ ἀποδρᾶναι δύνασθαι οὐκ ἀμφιβάλλει. καταπιανθεῖσα δὲ οὐκ ἂν ἔτι τέκοι παρὰ τὰς ὁδούς· οἶδε γὰρ ὅτι δραμεῖν ἐστι νωθεστέρα· τίκτει οὖν ἐν τοῖς ἄγγεσι καὶ ἐν τοῖς δρυμοῖς ⋮ Οἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλοντες, εἰσδύνονται παρελθόντες εἰς τὰς λόχμας, τοὺς ἐπιόντας σφίσι φυλαττόμενοι· ἔρημοι γὰρ τῶν ἀμυντηρίων ὄντες, ἀφῃρῆσθαι καὶ τὴν ἀλκὴν πεπιστεύκασιν ἐν τῷ τέως· φυλάττονται δέ, μήποτε ἄρα νεαροῖς οὖσιν αὐτῶν τοῖς ἕλκεσιν, εἶτα προσπίπτουσα ἡ ἀκτίς, πρὶν ἢ παγῆναι καὶ τοὺς καλουμένους χόνδρους λαβεῖν, ἥδε τὴν σάρκα ὑποσήψῃ ⋮ Οἱ ἐν Σύροις ἔλαφοι, ὅταν βουληθῶσι περαιώσασθαι θάλασσαν, ἐπὶ τὰς ἠϊόνας ἀφικνοῦνται ἡ ἀγέλη, καὶ ἀναμένουσι τοῦ πνεύματος τὴν φύσιν, καὶ ἡνίκα ἂν αἴσθωνται πρᾶον αὐτὸ καὶ ἥσυχον καταπνέον, τηνικαῦτα ἐπιθαῤῥοῦσι τῷ πελάγει· νέουσι δὲ κατὰ στοῖχον καὶ ἀλλήλων ἔχονται, τὰ γένεια αἱ ἑπόμεναι τῶν προηγουμένων τῇ ὀσφύϊ ἐπερείδουσαι· ἡ τελευταία δὲ γενομένη τῇ πρόσθεν ἐπὶ πάσαις ἑαυτὴν ἐπαναπαύουσα, εἶτα οὐραγεῖ. στέλλονται δὲ ἐπὶ τὴν Κύπρον. λέγεται γὰρ εἶναι βαθεῖα, καὶ νομὰς ἀγαθὰς ἔχειν ⋮ Ἔλαφοι ἐκ Σικελίας ἐπὶ Ῥηγίου περαιοῦνται, νηχόμεναι ὥρᾳ θέρους ἐπιθυμίᾳ καρπῶν· ἅτε δὲ ἐν μακρῷ πλῷ περαιουμένη ἐξασθενεῖ ἡ ἔλαφος ἀνέχουσα τὴν κορυφὴν ὑπὲρ τοῦ ὕδατος· κουφίζονται δὴ τὸν κάματον ὧδέ πως· νήχονται ἐπὶ μιᾶς τεταγμέναι, ἀλλήλαις ἑπόμεναι, ὥσπερ στρατόπεδον ἐπὶ κέρως βαδίζον· νήχονται δὲ, ἐπιθεῖσα ἑκάστη τὴν κορυφὴν τῇ τῆς ἡγουμένης ἰξύϊ· ἡ δὲ στρατηγοῦσα τῆς τάξεως ἐπειδὰν κάμῃ, ἐπὶ τὸ οὐραῖον μεθίσταται, καὶ ἡγεῖται ἄλλη, καὶ οὐραγεῖ ἄλλη· ὡς ἐν τοῖς στρατοπέδοις Ξενοφῶν μὲν οὐραγεῖ, ἡγεῖται δὲ Χειρίσοφος· ὥστε καὶ στρατηγίας τακτικῆς μεταποιεῖται ταυτὶ τὰ θηρία ⋮ Δημόκριτος αἰτίαν λέγει τοῖς ἐλάφοις τῆς τῶν κεράτων ἀναφύσεως ἐκείνην εἶναι. ἡ γαστὴρ αὐτῆς ὥς ἐστι θερμοτάτη ὁμολογεῖ· καὶ τὰς φλέβας δὲ αὐτῶν τὰς διὰ τοῦ σώματος πεφυκυίας παντὸς ὡραιοτάτας λέγει. καὶ τὸ ὀστέον τὸ κατειληφὸς τὸν ἐγκέφαλον λεπτότατον εἶναι καὶ ὑμενῶδες καὶ ἀραιόν, φλέβας τε ἐντεῦθεν καὶ ἐς ἄκραν τὴν κεφαλὴν ὑπανίσχειν παχυτάτας· τὴν γοῦν τροφήν, καὶ ταύτης γε τὸ γονιμώτατον, ὤκιστα ἀναδίδοσθαι· καὶ ἡ μὲν πιμελὴ αὐτῆς ἔξωθεν, φησί, περιχεῖται, ἡ δὲ ἰσχὺς τῆς τροφῆς ἐς τὴν κεφαλὴν διὰ τῶν φλεβῶν ἀναθόρνυται, ἔνθεν οὖν τὰ κέρατα φύεσθαι διὰ πολλῆς ἐπαρδόμενα τῆς ἰκμάδος. συνεχὴς οὖσα ἐπιῤῥέουσά τε ἐξωθεῖται προτέρα· καὶ τὸ μὲν ὑπερίσχον ὑγρὸν τοῦ σώματος ἔξω σκληρὸν γίνεται, πηγνύντος αὐτὸ καὶ κρατοῦντος τοῦ ἀέρος· τὸ δὲ ἔνδον ἔτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεμυκὸς ἁπαλὸν ἐστί· καὶ τὸ μὲν σκληρύνεται ὑπὸ τῆς ἔξωθεν ψύξεως, τὸ δὲ ἁπαλὸν μένει ὑπὸ τῆς ἔνδον ἀλέας.

10 4 (50) οὐκοῦν ἡ ἐπίφυσις τοῦ νέου κέρατος τὸ πρεσβύτατον ὡς ἀλλότριον ἐξωθεῖ, θλίβοντος τοῦ ἔνδοθεν καὶ ἀνωθεῖν τοῦτο ἐθέλοντος, καὶ ὀδυνῶντος καὶ σφύζοντος, ὥσπερ οὖν ἐπειγομένων τεχθῆναι καὶ προελθεῖν· ἡ γάρ τοι ἰκμὰς πηγνυμένη καὶ ὑπανατέλλουσα ἀτρεμεῖν ἀδύνατος ἐστί· γίνεται γὰρ καὶ αὐτὴ σκληρὰ καὶ ἐπωθεῖται τοῖς προτέροις. καὶ τὰ μὲν πλείω ἐκθλίβονται ὑπὸ τῆς ἰσχύος τῆς ἔνδον· ἤδη δέ τινα καὶ κλάδοις περισχεθέντα καὶ ἐμποδίζοντα εἰς τὸν ὠκὺν δρόμον ὑπὸ ῥώμης τὸ θηρίον ὠθούμενον ἀπήραξε· καὶ τὰ μὲν ἐξώλισθε, τὰ δὲ ἕτοιμα ἡ φύσις ἐκκύπτειν προάγει. Κράτης ἀπολύει τὰ Κράτητος , ἵνα μὴ τὰ Κράτητος κρατήσῃ τὸν Κράτητα : οὗτος γὰρ ἐκ Βοιωτίας ἕλκων τὸ γένος, φιλοσοφῆσαι θέλων τὴν Κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔῤῥιψε τῷ δήμῳ εἰπὼν τὸν παροιμιώδη τοῦτον λόγον.

10 6 Κρὴς πρὸς Αἰγινήτην : ἐπὶ τῶν πανουργίᾳ πρὸς ἀλλήλους χρωμένων. Κρητίζειν : ἐπὶ τοῦ ψεύδεσθαι· ἀπατητικοὶ γὰρ οἱ Κρῆτες.

10 8 Κριὸς τροφεῖα ἀπέτισεν : ἐπὶ τῶν ἀχαρίστων· οἱ γὰρ κριοὶ τὰς φάτνας πλήττουσι καὶ τοὺς τρέφοντας ⋮ Ἀκούω τὸν κριὸν τὸν ζῷον ἓξ μηνῶν χειμεριωτάτων κατὰ τῆς ἀριστερᾶς πλευρᾶς κεῖσθαι καὶ καθεύδειν, ἀπὸ δὲ τῆς ἐαρινῆς ἰσημερίας ἔμπαλιν ἀναπαύεσθαι καὶ κατὰ τῆς δεξιᾶς κεῖσθαι. Κριὸς ἀσελγόκερως : ἐπὶ τῶν μεγάλων καὶ ἀσελγῶν.

10 10 Κρείσσο ν ’ ἃ παρέλιπες : ἐπὶ τῶν μωρολογούντων. Θεόκριτος τοῦτ’ εἶπεν ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιούμενος, εἶτα ἐρωτώμενος ὑπ’ αὐτοῦ ποῖα ἐστὶ τὰ καλῶς εἰρημένα. Κρόνου πυγή : τὸ ἀρχαῖον καὶ ἀναίσθητον κρέας.

10 12 Κρεῖσσον ἐστὶ πολλοῦ ἄξιον εἶναι ἢ κεκτῆσθαι πολλοῦ ἄξια : ἐκ τῶν ἀποφθεγμάτων τοῦ Παυσανίου. Κρεῖσσον ταῖς ἀλγηδόσι τελευτᾶν ἢ περίφωρον γενόμενο ν , διὰ μαλακίαν τὸ ζῆν αἰσχρῶς περιποιήσασθαι : ἐξ ἀποφθέγματος.

10 14 Κρείσσων Ζώπυρος ἑκατὸν Βαβυλώνων : ἐπεὶ γὰρ αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυρος καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας ἐξηπάτησε Βαβυλωνίους, καὶ πιστευθεὶς παρ’ αὐτῶν παρέδωκε Δαρείῳ τὴν πόλιν· πολλάκις οὖν ὁ Δαρεῖος εἶπεν, οὐκ ἂν ἐθελήσαιμι λαβεῖν ἑκατὸν Βαβυλῶνας ἐπὶ τῷ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον. Κρεῖσσον ὀλίγον φωτίζεσθα ι , ἢ παντελῶς σκοτίζεσθα ι .

10 16 Κριτὴς κάκιστος ὑπάρχεις , καὶ φίλων καὶ πολεμίων : ὑπατεύοντι τῷ Φαυρικίῳ, προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύῤῥου ἰατρός, ἐπαγγελλόμενος, ἐὰν κελεύῃ, φαρμάκοις τὸν Πύῤῥον ἀποκτενεῖν. ὁ δὲ Φαυρίκιος τὴν ἐπιστολὴν πρὸς Πύῤῥον ἔπεμψεν, αἰσθέσθαι κελεύσας διότι καὶ φίλων κάκιστός ἐστι καὶ πολεμίων· ἐπεὶ δὲ φωράσας τὴν ἐπιστολὴν ὁ Πύῤῥος, τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ Φαυρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκε, μὴ δόξῃ λαμβάνειν μισθόν. οὐδὲ γὰρ χάριτι Πύῤῥου μεμηνυκέναι τὴν ἐπιβουλήν, ἀλλ’ ὅπως μὴ δοκῶσι Ῥωμαῖοι δόλῳ κτείνειν, ὡς φανερῶς νικᾷν οὐ δυνάμενοι. Κροκοδείλου δάκρυα : ἐπὶ τῶν ἐθελόντων τινὸς θάνατον, κλαιόντων δ’ ὅμως ἐπιτηδευτῶς ⋮ Ὁ γὰρ κροκόδειλος ὕδατος ἐμπλήσας τὸ στόμα ἐγχεῖ κατὰ τῆς ἀτραποῦ, δι’ ἧς οἶδε κατιόντα ἐς ποταμὸν ἢ ἐφ’ ὑδρείαν ἄνθρωπόν τε καὶ ἄλλα ζῷα ὀλισθηρὰν αὐτὴν ἐργάσασθαι θέλων· τὰ γάρ τοι κατολισθαίνοντα οὐ κρατεῖ τῆς ἐπιβάθρας, ἀλλ’ ἐκεῖνα μὲν κατηνέχθη, ὁ δὲ ὑπεπήδησεν ὑπολαβὼν καὶ δειπνεῖ ⋮ Ἐπὰν δὲ καταφάγῃ πάντα τὸν ἄνθρωπον χέει δάκρυα κατὰ τῆς κεφαλῆς καὶ ψιλωθείσης τῆς κεφαλῆς τῇ θερμότητι τῶν δακρύων κατεσθίει καὶ ταύτην ⋮ Ὅταν οὖν οἱ κροκόδειλοι τέκωσι, τὸν δὲ τὸν τρόπον ἐλέγχουσι τὸ γνήσιον καὶ τὸ νόθον.

10 17 ἐάν τι παραχρῆμα ἐκριφεὶς ἁρπάσῃ, τελεῖ τὸ λοιπὸν εἰς τὸ γένος καὶ πεπίστευται κροκοδείλων εἷς εἶναι· ἐὰν δὲ ἐλιννύσῃ καὶ βλακεύσῃ καὶ μὴ λάβῃ ποθὲν ἢ μυῖαν ἢ σέρφον ἢ ἔντερον γῆς ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σαύρων τῶν νεαρῶν, διέσπασεν αὐτὸν ὁ πατὴρ ὡς κίβδηλον ⋮ Ἱστόρηται ὅτι γυναικὶ Αἰγυπτίᾳ θρέμμα ἦν κροκόδειλος σκύλαξ. ἐμακάριζον οἱ Αἰγύπτιοι τὴν γυναῖκα ὡς ἐπιτιθηνουμένην θεόν· τινὲς αὐτῶν καὶ προσέῤῥιπτον καὶ αὐτὴν καὶ τὸν τρόφιμον. ἦν αὐτῇ παῖς ἡβάσκων, ἡλικιώτης τοῦ θεοῦ, συναθύρων αὐτῷ καὶ συντρεφόμενος· ὁ δὲ τέως μὲν ὑπὸ ἀσθενείας ἦν τιθασός, προελθὼν δὲ εἰς μέγεθος ἤλεγξε τὴν φύσιν καὶ διέφθειρε τὸν παῖδα· ἡ δὲ δύστηνος Αἰγυπτία ἐμακάριζε τὸν υἱὸν τοῦ θανάτου, ὡς γενόμενον δῶρον ἐφεστίῳ θεῷ. Τὸ κ μετὰ τοῦ υ.

10 18 Κύκνειον ᾆσμα : ἐπὶ τῶν ἐγγὺς θανάτου ὄντων. οἱ γὰρ κύκνοι θνήσκοντες ᾄδουσι ⋮ Καὶ ἴσασιν ὁπότε τοῦ βίου τὸ τέρμα ἀφικνεῖται αὐτοῖς, καὶ μέντοι καὶ εὐθύμως φέρουσιν αὐτὸ προσιόν. ἄνθρωποι δὲ ὑπὲρ οὗ οὐκ ἴσασι δεδοίκασι καὶ ἡγοῦνται μέγιστον εἶναι κακὸν αὐτό. ἀναγηρύονται δὲ ἐπὶ τῇ τελευτῇ οἷον ἐπικήδειόν τι μέλος. ὁ δὲ ἀετὸς ἀδίκων ἄρχων πρὸς αὐτὸν οὐδέποτε ἐκράτησεν, ἡττήθη δὲ ἀεί. Κυλώνειον ἄγος : ἐπὶ τῶν μεμυασμένων ⋮ Κύλων εἷς ἦν τῶν ἐνδόξων Ἀθηναίων, ἀνὴρ Ὀλυμπιονίκης.

10 19 ἐπιθυμήσας τυραννῆσαι τῶν Ἀθηναίων, παρεγένετο ἐπὶ θεοῦ χρηστήριον καὶ ἐπηρώτᾳ· τοῦ δὲ θεοῦ ἐπιχρήσαντος, ἐν τῇ μεγάλῃ ἑορτῇ ἐπιθέσθαι τῇ τυραννίδι, ἀγομένων τῶν Ὀλυμπίων, δόξας ταύτην εἶναι τὴν μεγάλην ἑορτήν, ἐπέθετο καὶ κατέλαβε τὴν ἀκρόπολιν τῶν Ἀθηναίων. Περικλῆς ἔχων σὺν αὐτῷ τοὺς συμπράττοντας ἐπανέστη. ὁ δὲ Κύλων δείσας τὸν Περικλέα συνέθετο ὅπως ὑπόσπονδος σὺν ἀδείᾳ κατέλθοι, καὶ γενομένων τῶν σπονδῶν κατῄει. ἐκδησάμενοι ἀπὸ τοῦ ναοῦ τῆς Ἀθηνᾶς μήρινθον, ὡς δὴ ἱκετὴς τοῦ θεοῦ, οἱ περὶ τὸν Περικλέα οὐ κατασχόντες τὴν ὀργὴν ἀπέκτειναν αὐτὸν κατερχόμενον. τοῦτο ἐστὶ τὸ Κυλώνειον ἄγος. Κυπαρίττου καρπός : ἐπὶ τῶν καλὰ καὶ ὑψηλὰ λεγόντων, ἄκαρπα δέ.

10 21 Κυρνία γῆ : ἐπὶ τῶν χωρῶν τῶν λῃστὰς ἐχουσῶν· τοιαύτη γὰρ ἡ Κύρνος πρώην. Κυνόσαργες : ὁ τόπος ἐν ᾧ οἱ νόθοι ἐξεκρίνοντο.

10 22 Κύνα γάρ τινα λέγεται ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία αὐτοῦ καταθεῖναι, καὶ ἐπερωτήσαντας τοὺς θεοὺς λαβεῖν χρησμὸν, Ἡρακλέους ἱδρῦσαι ἐκεῖ ἄγαλμα· ἐξ οὗ καὶ τοὺς νόθους συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν ἶσα θεοῖς ἐτιμήθη. λέγεται ἡ παροιμία ἐπὶ τῶν νόθων. Κύων ἐπισπεύδουσα τυφλὰ γενν ᾷ .

10 24 Κυζικηνοὶ στατῆρες : ἐπὶ τῶν εὖ κεχαραγμένων στατήρων· διαβόητοι γὰρ οὗτοι. Κύων πα ρ ’ ἐντέροις : ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν προκειμένων.

10 26 Κύων ἐπὶ δεσμά : ἐπὶ τῶν ἑαυτοὺς εἰς δεσμὰ ἐμβαλλόντων. Κύρβεις κακῶν : ἐπὶ πλήθους κακῶν· κύρβεις γὰρ ξύλα τινὰ πινακοειδῆ, ὅπου τοὺς νόμους ἔγραφον.

10 28 Κύκλος τὰ ἀνθρώπινα : σαφὴς ἡ παροιμία καὶ προσέτι σοφή. Κύνα δέρειν δεδαρμένην : ἐπὶ τῶν μάτην τι ποιούντων.

10 30 Κύων εἰς τὸν ἴδιον ἔμετον : ἐπὶ τῶν ἀπὸ τῶν ἀγαθῶν εἰς τὰ κακὰ ἐπανακαμπτόντων ⋮ Λέγεται ὡς ἐν πολέμῳ Κάλβου τοῦ Ῥωμαίου σφαγέντος οὐδεὶς τῶν ἐχθρῶν τοῦ ἀνδρὸς τὴν κεφαλὴν ἠδυνήθη ἀποτεμεῖν, καίτοι μυρίων ἀγώνισμα τιθεμένων τοῦτο, πρὶν ἢ παρεστῶτά οἱ κύνα ἀποκτεῖναι, ὑπ’ αὐτοῦ τραφέντα καὶ μέντοι ὑπερμαχοῦντα τοῦ κειμένου, ὥσπερ συστρατιώτην καὶ σύσκηνον ἀγαθόν. *** οἷον δ’ αὖ καὶ τότε ἔῤῥεξεν οὐκ ἀνὴρ μὰ Δί’, ἀλλ’ ἀγαθὸς κύων καὶ τὴν γνώμην καρτερός. ὁ Ἠπειρώτης Πύῤῥος ὡδοιπόρει, καὶ περιτυγχάνει νεκρῷ πεφονευμένῳ καὶ κυνὶ παρεστῶτι καὶ φρουροῦντι τὸν δεσπότην, ἵνα μὴ πρὸς τῷ φόνῳ καὶ τῷ νεκρῷ λυμαίνηταί τις. ἔτυχε δὲ ἄρα τρίτην ἔχων ὁ κύων ἀπόσιτος τὴν ἡμέραν ἐπὶ τῇ φιλοπόνῳ καὶ καρτερωτάτῃ φρουρᾷ. τὸν μὲν οὖν ᾤκτειρε καὶ ταφῆς ἠξίωσε, τόν γε μὴν κύνα προσέταξε τυχεῖν κηδεμονίας, καὶ ἐδίδου ὅσα κυνὶ παρόντι ἐκ χειρὸς καὶ μάλα γε ἱκανὰ καὶ ἐφολκά. οὐ μετὰ μικρὸν ἐξέτασις ὁπλιτῶν ἦν, καὶ ὁ βασιλεὺς ὃν προεῖπον ἐθεᾶτο καὶ οἱ παρῆν ἐκεῖνος ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κύων, καὶ τὰ μὲν ἄλλα ἑαυτὸν σιγῇ κατεῖχεν. ἐπεὶ δὲ ἄρα τοὺς τοῦ δεσπότου φονέας ἐν τῇ τῶν στρατιωτῶν εἶδεν ἐξετάσει, ὁ δὲ οὐκ ἐκαρτέρησεν, ἀλλὰ εἰς αὐτοὺς ἐπήδα καὶ ὑλάκτει ἀμύσσων τοῖς ὄνυξι καὶ ἐς τὸν Πύῤῥον ἅμα ἐπιστρεφόμενος, ὡς οἷός τε ἦν ἐπήγετο μάρτυρα, ὅτι ἄρα τοὺς ἀνδροφόνους ἔχει. οὐκοῦν ὑπόνοια εἰσέρχεται καὶ τὸν βασιλέα καὶ τοὺς περιεστῶτας αὐτόν, καὶ ποιοῦνται ἐνθύμιον τὴν τοῦ κυνὸς ὑλακὴν τὴν ἐς τοὺς προειρημένους. καὶ συλληφθέντες στρεβλοῦνται καὶ κατεῖπον ὅσα ἐτόλμησαν. Κυνὶ δίδως ἄχυρα , ὄνῳ δ ’ ὀστέα : ἐπὶ τῶν τἀναντία ποιούντων. [25]

10 32 Κύνες Ἰνδικοί : θηρία δὲ οἵδε τὴν ψυχὴν θυμοειδέστατα· καὶ τῶν μὲν ἄλλων ζῴων ὑπερφρονοῦσι, λέοντι δὲ ὁμόσε χωρεῖ κύων Ἰνδικὸς καὶ ἐγκείμενον ὑπομένει καὶ βρυχωμένῳ ἀνθυλακτεῖ καὶ ἀντιδάκνει δάκνοντα· καὶ πολλὰ λυπήσας τελευτῶν ἡττᾶται ὁ κύων. εἴη δ’ ἂν καὶ λέων ἡττηθεὶς ὑπὸ κυνὸς Ἰνδοῦ, καὶ μέντοι καὶ δακὼν ὁ κύων ἔχεται καὶ μάλα ἐγκρατῶς· κἂν προσελθὼν μαχαίρᾳ τὸ σκέλος ἀποκόπτῃς τοῦ κυνός, ὁ δὲ οὐκ ἄγει σχολὴν ἀλγήσας ἀνεῖναι τὸ δῆγμα, ἀλλ’ ἀπεκόπη μὲν πρότερον τὸ σκέλος, νεκρὸς δὲ ἀνῆκε τὸ στόμα ⋮ Ἀνθρώπου μόνου καὶ κυνὸς κορεσθέντων ἀναπλεῖ ἡ τροφή. καὶ τοῦ μὲν ἀνθρώπου ἡ καρδία τῷ μαζῷ τῷ λαιῷ προσήρτηται, τοῖς γε μὴν ἄλλοις ζῴοις ἐν μέσῳ τῷ στήθει προσπέλασται. γαμψώνυμον δὲ ἄρα οὐδὲ ἓν οὔτε πίνει, οὔτε οὐρεῖ, οὔτε μὴν συναγελάζεται ἑτέροις ⋮ Νικίας τις τῶν κυνηγούντων ἀπροόπτως φερόμενος εἰς ἀνθρακευτῶν κάμινον κατηνέχθη, οἱ δὲ κύνες οἱ σὺν αὐτῷ τοῦτο ἰδόντες οὐκ ἀπέστησαν, ἀλλὰ τὰ μὲν πρῶτα κνιζόμενοι περὶ τὴν κάμινον καὶ ὠρυόμενοι διέτριβον, τὰ δὲ τελευταῖα μονονουχὶ τοὺς παριόντας ἠρέμα καὶ πεφεισμένως κατὰ τῶν ἱματίων δάκνοντες, εἶτα εἷλκον ἐπὶ τὸ πάθος, οἷον ἐπικούρους τῷ δεσπότῃ παρακαλοῦντες τοὺς ἀνθρώπους γενέσθαι. καὶ γοῦν εἷς ὁρῶν τὸ γενόμενον ὑπώπτευσε τὸ συμβάν, καὶ ἠκολούθησε καὶ εὗρε τὸν Νικίαν ἐν τῇ καμίνῳ καταφλεγέντα, ἐκ τῶν λειψάνων συμβαλὼν τὸ γενόμενον. Τὸ κ μετὰ τοῦ ω. [25]

10 33 Κωφότερος κίχλης : παρόσον ἄφωνον τὸ ζῷον. Κωφότερος τοῦ Τορωναίων λιμένος : λιμήν τις ἦν στενὰς ἔχων τὰς εἰσβάσεις.

10 35 Κῷος πρὸς Χῖον : ὅταν ἐλάττω πρὸς μείζω τις παραβάλλει. Κωφῷ ὁμιλεῖς : ἐπὶ τῶν ἀδυνάτων.

10 37 Κώνωπος ἐλέφας Ἰνδὸς οὐκ ἀλεγίζε ι . Ἀρχὴ τοῦ λ στοιχείου.

10 38t Τὸ λ μετὰ τοῦ α. Λάβρακας Μιλησίους : ἐπὶ τῶν λαιμάργων.

10 38 ἔστι δὲ ὁ λάβραξ εἶδος ἰχθύος· τὴν δὲ προσηγορίαν πεποίηται, διότι κέχηνεν αὐτοῦ τὸ στόμα καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει· ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιστοι γίνονται λάβρακες καὶ πλεῖστοι διὰ τὴν ἐκδιδοῦσαν λίμνην εἰς θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἀνατρέχουσιν ἐκ τῆς θαλάττης καὶ οὕτω πληθύνουσι παρὰ Μιλησίοις ⋮ Λάβραξ καρίδων ἅπτεται· καὶ εἴη ἂν εἰ καὶ πταίσας ἐρῶ ἰχθύων ὀψοφαγίστατος. αἱ δὲ ἀμύνασθαι αὐτοὺς ἀδυνατοῦσαι, αἱροῦνται συναποθνήσκειν· ὅταν γοῦν αἴσθωνται λαμβανόμεναι, τὸ ἐξέχον τῆς κεφαλῆς, ἔοικε δὲ τριήρους ἐμβόλῳ καὶ μάλα γε ὀξεῖ· τοῦτο τοίνυν αἱ γενναῖαι σοφῶς ἐπιστρέψασαι, πηδῶσι τε καὶ ἀναθόρνυνται κοῦφα καὶ ἁλτικά. κέχηνε δὲ ὁ λάβραξ καὶ μέγα, καὶ ἔστιν οἱ τὰ τῆς δέῤῥης ἁπαλά. οὐκοῦν ὁ μὲν συλλαβὼν τὴν καρίδα καμοῦσαν, οἴεται δεῖπνον ἔχειν· ἡ δὲ ἐν ἐξουσίᾳ τε καὶ εὐρυχωρίᾳ σκιρτᾷ, τῆς φάρυγγος, ὡς ἂν εἴποις, καταχορεύουσα· εἶτα ἐμπήγνυται τῷ δειλαίῳ θηρατῇ τὰ κέντρα καὶ ἑλκοῦταί οἱ τὰ ἔνδον καὶ ἀνοιδήναντα αἷμα ἐκβάλλει πολὺ καὶ ἀπεπνίγη καὶ καινότατα δήπου ἀποκτείνασα ἀνήρηται. Λάβωμεν τὴν Ἀσίαν ἐν τῇ Εὐρώπῃ : ἐπὶ τῶν ἑνὶ πόνῳ δύο κατωρθωκότων· ἐκ τῶν Θεμιστοκλέους ἀποφθεγμάτων. [20]

10 40

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λαγωὸς καθεύδων : ἐπὶ τῶν προσποιουμένων καθεύδειν, ἢ πανουργευομένων. Λαγωὸς περὶ τῶν κρεῶν τρέχει : δειλὸν τὸ ζῷον· ὅθεν καὶ Ῥηγῖνος λαγὼς ἐλέχθη· καὶ γὰρ τοὺς Ῥηγίνους ἐπὶ δειλίᾳ ἐκωμῴδουν.

10 41 λέγεται δὲ ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων ⋮ Εἰς τὴν κοίτην τὴν συνήθη οὐ πάρεισιν ὁ λαγὼς πρὶν ἢ ταράξῃ τὰ ἴχνη, πῇ μὲν εἰσιών, πῇ δὲ ἐξιών, ἵνα ἀφανίσῃ τὴν ἐκ τῶν θηρατῶν εἰς αὐτὸν ἐπιβουλήν ⋮ Λέγεται καὶ τάδε περὶ αὐτῶν· τίκτειν καὶ ἄῤῥενας λαγὼς καὶ ἔχειν παιδοποιεῖσθαί τε ἅμα καὶ ὠδίνειν, ὡς τῆς φύσεως μὴ ἀμοιρεῖν ἑκατέρας ⋮ Ἔστι δ' ὁ λαγὼς καὶ ἀνέμων τε καὶ ὡρῶν ἐπιστήμων· ἐν χειμῶνι οὖν κοίτην ἐν τοῖς προσηλίοις τίθεται· δῆλα γὰρ δὴ ὅτι θάλπεται μὲν ἀσμένως, κρύει δὲ ἐχθρῶς ἔχει· θέρους δὲ πρὸς ἄρκτον ἀποκλίνει πόθῳ ψύχους. τῆς δὲ τῶν ὡρῶν διαφορᾶς αἱ ῥῖνες αὐτῷ γνώμων. οὐ μὴν ἐπιμύει καθεύδων ὁ λαγώς, καὶ τοῦτο αὐτῷ ζῴων μόνῳ περίεστιν, οὐδὲ νικᾶται τῷ ὕπνῳ τὰ βλέφαρα. Φασὶ δὲ αὐτὸν καθεύδειν μὲν τὸ σῶμα, τοὺς δὲ ὀφθαλμοὺς τηνικάδε ὁρᾶν. Λακωνικὸν τρόπον : περαίνειν ἢ παρέχειν ἑαυτὰς τοῖς ξένοις· ἥκιστα γὰρ τὰς γυναῖκας ἐφύλασσον οἱ Λάκωνες.

10 42 καὶ Λακωνίζει ν , τὸ παιδικοῖς χρῆσθαι. Λακκόπλουτος εἶ κατὰ τὸν Καλλίαν : οὕτως ἔλεγον Καλλίαν τὸν Ἀθηναῖον ἐξ αἰτίας τοιαύτης.

10 43 Ξέρξην ἡττηθέντα ἐν τῇ Σαλαμῖνι ναυμαχίᾳ φυγεῖν ἐξ Ἀθηνῶν· ἐσταθμευκότος δέ τινος τῶν Περσῶν ἐν τοῖς Καλλίου καὶ τὴν ἀποσκευὴν ἐκεῖ καταλελοιπότος, τῶν δὲ βαρβάρων ὀξεῖαν τὴν φυγὴν ποιησαμένων, ἐμβαλεῖν τοὺς οἰκέτας τοῦ Πέρσου πολὺν χρυσὸν εἰς λάκκον, ἐλπίζοντας ὕστερον ἀνασώσειν ἐπανελθόντας. οὐ μὴν γενέσθαι λέγεται· πρότερον γὰρ κυριεῦσαι τῶν χρημάτων Καλλίαν. Λαμίας δυσμορφότερος : ταύτην ἐν τῇ Λιβύῃ Δοῦρις ἐν δευτέρᾳ Λιβυκῶν ἱστορεῖ γυναῖκα καλὴν γενέσθαι, μιχθέντος δὲ αὐτῇ τοῦ Διός, ὑφ' Ἥρας ζηλοτυπουμένην ἃ ἔτικτεν ἀπολύναι· διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι, καὶ τὰ τῶν ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν.

10 44 Ἔστι δὲ καὶ πόλις Θεσσαλίας, ὅθεν ὁρμηθέντες οἱ Ἕλληνες μετὰ τὸν Ἀλεξάνδρου θάνατον Ἀθηναίων ἡγουμένων τῆς ἐλευθερίας ἀντιποιησάμενοι τὸν Ἀντίπατρον ἐνίκησαν. Μένανδρος ἐν Ἀνδρογύνῳ· πλήσας γὰρ ἔφθειρεν ἐκ παρατάξεώς ποθεν τὰς ἐν Λαμίᾳ πάσα ς . Λαρινοὶ βόες : ἐπὶ τῶν εὐτραφῶν.

10 45 ἀπὸ Λαρίνου βουκόλου τοῦ ἐν Ἠπείρῳ κλέψαντος τὰς Ἡρακλέους βοῦς, ὡς Λύκος ὁ Ῥηγῖνος, ὅτε τὰς Γηρυόνου βοῦς ἤλαυνε· Πρόξενος δὲ αὐτὸν τὸν Ἡρακλέα ἀνεῖναί τινας τῷ Δωδωναίῳ Διΐ· Ἀπολλόδωρος δὲ αὖ τοὺς εὐτραφεῖς λαρινοὺς καλεῖ· λαρινεύειν γὰρ τὸ σιτεύειν. Λάρος κεχηνώς : ἐπὶ τῶν ἁρπακτικῶν καὶ κλεπτῶν.

10 47 Λακωνικὰς σελήνας : ἐπὶ τῶν ἀμφιβόλως συνθήκας ποιουμένων· οὗτοι γὰρ βοήθειαν αἰτούμενοι ἀνεβάλλοντο, τὴν σελήνην προφασιζόμενοι. Λάρος ἐν ἕλεσιν : ἐπὶ τῶν ταχὺ ἀποδιδόντων.

10 49t Τὸ λ μετὰ τοῦ ε. Λεβηρίδος γυμνότερος καὶ κινδάλου : ἔστι δὲ λεβηρὶς τὸ δέρμα ὃ ἀποδύεται ὁ ὄφις· ὁ δὲ κίνδαλος εἶδος ὀρνέου ἀσάρκου.

10 50 Λειβηθρίων ἀνοητότεροι : Θουκυδίδης ταύτῃ ἐχρήσατο. οἱ γὰρ Λειβήθριοι ἔθνος ἦν μωρόν, ἀπὸ τόπου Λείβηθρα καλουμένου, ἐν ᾧ κατῴκουν, οὕτω παρωνομαζόμενον. Λέγειν μὲν τὰ ἄριστα , πράττειν δὲ τὰ κάλλιστα : τοῦτο ἐξ ἀποφθέγματος.

10 52 Λευκώλενον λίνον κέρδει γαμεῖς : ἐπὶ τῶν αἰσχρὰς ἐπὶ κέρδει γαμούντων. Λεωκόριον οἰκεῖς : ἐπὶ τῶν λιμωττόντων· ἔστι δὲ τόπος τῆς Ἀττικῆς· ἐλίμωξέ ποτε ἡ Ἀττικὴ καὶ λύσις ἦν τῶν δεινῶν παιδὸς σφαγή.

10 53

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λεὼς οὖν τις τὰς ἑαυτοῦ θυγατέρας ἐπιδέδωκε, καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν· καὶ ἐκ τούτου ἐκλήθη ὁ τόπος Λεωκόριον. ὁ Λεὼς δὲ ἦν υἱὸς Ὀρφέως· οὗτος δ' ὁ Λεὼς ἔσχεν υἱὸν Κύλανθον· ἦν δὲ τὰ ὀνόματα τῶν θυγατέρων τούτου, ἃς ὑπὲρ τῆς χώρας δέδωκεν εἰς σφαγὴν, Φρασιθέα, Θεόπη καὶ Εὐβούλη. Λέοντα ξυρᾶν , ἢ κολωνὸν κυρίττειν : ἐπὶ τῶν μὴ πειθομένων περί τι ⋮ Λέγει Εὔδημος νεανίᾳ θηρατικῷ συντρόφους εἶναι κύνα καὶ ἄρκτον καὶ λέοντα· καὶ ταῦτα μὲν χρόνου πρὸς ἄλληλα εἰρήνην ἄγειν καὶ σφίσι φίλα νοεῖν.

10 54 μιᾶς δὲ τυχεῖν ἡμέρας τὸν κύνα προσπαίξαντα τὴν ἄρτον καὶ ὑπαικάλλοντα καὶ ἐρεσχελοῦντα, τὴν δὲ οὐκ εἰωθότως ἐκθηριωθῆναι καὶ ἐμπεσεῖν τῷ κυνὶ καὶ λαφύξαι τοῦ δειλαίου τὴν γαστέρα καὶ διασπάσασθαι αὐτόν. ἀγανακτῆσαι δὲ τῷ συμβάντι τὸν λέοντα καὶ μισῆσαι τὴν ἄρκτον καὶ τὰ αὐτὰ δρᾶσαι αὐτήν, ἅπερ οὖν ἐκείνη τὸν κύνα εἰργάσατο. Ὅμηρος μὲν οὖν φησίν· ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι · ἔοικε δὲ ἡ φύσις δεικνύναι, ὅτι καὶ φίλον ἑαυτῷ τιμωρὸν καταλιπεῖν, ὦ φίλε Ὅμηρε, κέρδος ἐστί. Λεπτή τις ἐλπίς ἐσ τ ' ἐ φ ' ἧς ὀχούμεθα : ἐπὶ τῶν ἀμηχάνων.

10 56 Λεπτὴν πλέκει : λεγόμενόν τι ἐπὶ τῶν πενήτων, οἷον ἀκριβῆ, στενὴν, ἀσθενῆ. Λέρνη θεατῶν : καί· Λέρνη κακῶν : ἀντὶ τοῦ, κακὸν θέατρον· Κρατῖνος.

10 57 οἱ μὲν διὰ τὴν Ὕδραν· οἱ δὲ διὰ τὸ τοὺς Ἀργείους τὰ καθάρματα ἐκεῖ ἀποφέρειν. ὁ γὰρ Δαναὸς ἐν τῇ Λέρνῃ τὰς κεφαλὰς τῶν Αἰγυπτιαδῶν ἀπέθετο καὶ ὡς εἰκὸς ἐφ' ὕβρει ἐκέλευσε τὰ δυσοιώνιστα ἐκεῖ ῥίπτειν· ἦν δὲ ἡ Λέρνη πηγή. Λεσβίων ἀξία : ἐπὶ τῶν ἀπράκτων.

10 59 Λέσχῃ ἐγκάθῃ : ἐπὶ τῶν διαλεγομένων καὶ φιλοσοφούντων· τὸ γὰρ παλαιὸν αἱ καθέδραι καὶ οἱ τόποι, ἐν οἷς εἰώθεσαν ἀθροιζόμεναι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο. οὕτω φησὶ καὶ Ἱεροκλῆς ἐν πρώτῃ Φιλοσοφουμένων. Λευκὴν μάζαν φυρῶσιν : ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων.

10 61 Λέων τὴν τρίχα , ὄνος τὸν βίον : ἐξ ἱστορίας ἡ παροιμία· Καρχηδόνιόν φασι νεανίαν ἀγρεῦσαι λέοντα ἄρτι ἐκ γάλακτος καὶ ἡμερῶσαι τοῦτον παρανόμῳ τροφῇ καὶ τὸν θυμὸν αὐτοῦ ἐξελεῖν διαίτῃ νόθῳ, ὥστε ἐπιθεὶς αὐτῷ φορτίον ἤλαυνε δι' ἄστεος ὄνου δίκην. ἀλλὰ ἀπέκτειναν γε αὐτὸν Καρχηδόνιοι μισήσαντες τῆς παρανομίας, ὡς τύραννον μὲν τῇ φύσει, ἰδιώτην δὲ τῇ δυστυχίᾳ. Λευκὴ ψῆφος : ἐπὶ τῶν εὐδαιμόνως βιούντων.

10 63 Λέων εὐθὺς εἰς ἀγῶνας : ἐπὶ τῶν ἀνδρείως ἀγωνιζομένων ⋮ Τὴν ὕαιναν τῆτες μὲν εἰ θεάσαιο ἄῤῥενα, τὴν αὐτὴν εἰς νέωτα ὄψει θῆλυν· εἰ δὲ θῆλυν νῦν, μετὰ ταῦτα ἄῤῥενα· κοινωνοῦσί τε καὶ γαμοῦνται, ἀνὰ ἔτος πᾶν ἀμείβουσαι τὸ γένος. οὐκοῦν τὸν Καινέα καὶ τὸν Τειρεσίαν ἀρχαίους ἀπέδειξε τὸ ζῷον τοῦτο, οὐ κόμποις, ἀλλὰ τοῖς ἔργοις αὐτοῖς ⋮ Φοιτᾷ δὲ νύκτωρ καὶ πρὸς τὰ αὔλια καὶ μιμεῖται τοὺς ἐμοῦντας. ἀκούοντες δὲ οἱ κύνες προσίασιν ὡς ἐπ' ἄνθρωπον· ἡ δὲ αὐτοὺς συλλαμβάνει καὶ ἐσθίει. Λευκὴ στάθμη λευκῷ λίθῳ : ἐπὶ τῶν τὰ ἄδηλα ἀδήλοις σημειουμένων· ἢ ἐπὶ τῶν μηδὲν συνιέντων.

10 65t Τὸ λ μετὰ τοῦ η. Λήμνιον κακόν : ἐκ γὰρ Ἀθηνῶν ἁρπάσαντες γυναῖκας οἱ Λήμνιοι καὶ τεκνοποιησάμενοι ἐξ αὐτῶν, κατέσφαξαν αὐτὰς μετὰ τῶν τέκνων· ἔπειτα δὲ πάντας αἱ γυναῖκες τοὺς ἄνδρας, ὅτι αὐταῖς οὐ προσεῖχον, ἀνεῖλον ἅμα ταῖς τῶν Θρᾳκῶν γυναιξὶν, ἐπὶ τῇ δυσωδίᾳ· ἣν Μυρσίλος μὲν διὰ τὸν τῆς Μηδείας ἐπὶ Ὑψιπύλῃ ζῆλον κατασχεῖν.

10 65 Καύκασος δὲ φησίν, ὅτι ἔθος ἦν τοῖς Λημνίοις κατ' ἔτος θύειν τῇ Ἀφροδίτῃ. παριδόντες οὖν τὸ τοιοῦτον ἐτήσιον ἔθος σχεδὸν οὐ μνήμην ἐποίουν αὐτῆς. αὕτη δὲ ὀργισθεῖσα ἐπέβαλε ταῖς γυναιξὶν αὐτῶν δυσωδίαν, δι' ἣν οἱ ἄνδρες αὐτὰς ἀπεστρέφοντο· αἱ δὲ ὀργισθεῖσαι ἀνεῖλον τοὺς ἑαυτῶν ὁμευνέτας· μόνη δὲ ἡ Ὑψιπύλη ἔσωσε τὸν ἑαυτῆς ἄνδρα Θόαντα. ὅθεν τὰ μεγάλα κακὰ Λήμνια λέγεται. Λημνίᾳ χειρί : ὠμῇ καὶ παρανόμῳ, ἀπὸ τῶν συμβάντων.

10 67 Λήμνιον βλέπεις : ἤγουν πυρῶδες· ἐπειδὴ τὸ Λήμνιον πῦρ ἀπὸ τοῦ Ἡφαίστου. Τὸ λ μετὰ τοῦ ι.

10 68

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λίθον ἕψεις : ἐπὶ τῶν ἐπιχειρούντων τὰ ἀδύνατα ποιῆσαι ⋮ Ἰστέον ὅτι αἰθάλην λέγομεν τὸν ἀπὸ λίθων καπνόν· ἀτμὸν δὲ τὸν ἀπὸ ὕδατος· βδέλος δὲ τὸν ἀπὸ λύχνων· λιγνὺν δὲ τὸν ἀπὸ ἐλαίου καὶ κηροῦ· κνίσσαν δὲ τὸν ἀπὸ τῶν κρεῶν· καπνὸν δὲ κυρίως τὸν ἀπὸ ξύλων. Λιμοῦ πεδίον : ἐπὶ τῶν ὑπὸ λιμοῦ πιεζομένων.

10 69 Λιμοῦ γάρ ποτε ὄντος ἔχρησεν ὁ θεὸς Ἀθηναίοις ἀνεῖναι τῷ λιμῷ παιδίον, εἰ μέλλοιεν ἀπαλλαγῆναι τοῦ λιμοῦ διὸ καὶ ἐποίησαν. Λιμὸς Μηλίων : ἐπὶ τῶν χαλεπῶν· ἐν γὰρ τοῖς Πελοπονησιακοῖς κατὰ πάντων Νικίαν πέμψαντες Ἀθηναῖοι ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτούς, ὥστε λιμῷ διαφθεῖραι.

10 70 τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεστήσατο, οὐ μόνον μηχανῶν προσαγωγῇ, ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀποστῆναι αὐτῶν πρώην ὑποτελῆ οὖσαν. Μῆλος δὲ πόλις Θεσσαλίας. οἱ δὲ Μήλιοι πολιορκούμενοι λιμῷ ὑπὸ Ἀθηναίων ἐπείσθησαν καὶ προδεδώκασιν ἑαυτούς. Λίνδιοι τὴν θυσίαν : ἐπὶ τῶν σκωπτόντων καὶ δυσφήμως ἱερουργούντων.

10 71 Ἡρακλῆς γὰρ ἥρπασε τὸν βοῦν τινος τῶν Λινδίων, καὶ ἐθοινίσατο· ὁ δ’ ἐλοιδορεῖτο αὐτῷ. Λίθος κυλιόμενος φῦκος οὐ ποιεῖ : ἐπὶ τῶν διὰ τὰς συνεχεῖς μεταστάσεις πλοῦτον μὴ κεκτημένων.

10 73 Λίνον λίνῳ συνάπτειν : ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν δρώντων ἢ λεγόντων. Λιτύερσαν ᾠδὴν ᾄδεις : ἐπὶ τῶν ἐπιβούλων.

10 74 Μένανδρος Χαλκηδονίῳ· ᾄδοντα Λιτυέρση ν , ἀ π ’ ἀρίστου τέω ς . Μίδου δὲ ἦν ὁ Λιτυέρσης νόθος υἱός, κατοικῶν δὲ ἐν Κελαιναῖς τοὺς παριόντας ὑποσχόμενος ἠνάγκαζε μετ’ αὐτοῦ θερίζειν. εἶτα ἀποκόπτων τὰς κεφαλὰς τὸ ἄλλο σῶμα συνείλει ἐν τοῖς δράμασιν. εἰς τιμὴν δὲ τοῦ Μίδου θερικὸς ὕμνος ἐπ’ αὐτῷ συνετέσθη. Λιβυκὸν θηρίον : ἐπὶ τῶν πολυτρόπων καὶ πολυειδῶν καὶ ποικίλων· διὰ τὸ τὴν Λιβύην πολύθηρον εἶναι· καὶ πολλὰ ζῷα συνιέντα ἀλλήλοις καὶ ἐπιβαίνοντα ἐξηλλαγμένα ἀποτελεῖν καὶ σύμμικτα ζῷα ⋮ Λέγει ὁ Εὔδημος τὰ ἐν Λιβύῃ ζῷα, ὅ τι ἂν θηράσῃ, ποιεῖν μοίρας ἕνδεκα, καὶ τὰς μὲν δέκα σιτεῖσθαι, τὴν δὲ ἑνδεκάτην ἀπολείπειν· (ὅτῳ δὲ καὶ ἀντὶ τοῦ καὶ ἐννοίᾳ τινὶ σκοπεῖν ἄξιον).

10 75 οὐκοῦν ἐκπλαγῆναι δίκαιον τὴν αὐτοδίδακτον σοφίαν· τὴν γάρ τοι μονάδα καὶ δυάδα καὶ τοὺς ἑξῆς ἀριθμοὺς ζῷον οἶδεν ἄλογον· ἀνθρώπῳ δὲ δεῖ πόσων μὲν τῶν μαθημάτων, πόσων δὲ τῶν πληγῶν, ἵνα ἢ μάθῃ ταῦτα εὖ καὶ καλῶς, ἢ πολλάκις μὴ μάθῃ. Τὸ λ μετὰ τοῦ ο.

10 76 Λοκρῶν συνθήματα · τάσσεται ἐπὶ τῶν παρακρουομένων· οἱ γὰρ Λοκροὶ τὰς συνθήκας παρέβαινον. Λούσαιο τὸν Πελίαν : ἀπὸ τῶν τῷ Πελίᾳ συμβάντων παρήχθη.

10 78 Λοκρικὸς βοῦς : ἐπὶ τῶν εὐτελῶν· Λοκροὶ γὰρ ἀποροῦντες βοῶν πρὸς θυσίας ξύλα σχηματίσαντες εἰς βοῦν οὕτω τὸ θεῖον ἱλεώσαντο. Τὸ λ μετὰ τοῦ υ.

10 79 Λυγγέως ὀξύτερον ὁρᾷ : ἐπὶ τῶν ὀξυδορκούντων ⋮ Λέγουσι τὸν Λυγγέα ὡς τὰ ὑπὸ γῆν ἑώρα· τοῦτο δὲ ψεῦδος· τὸ δ’ ἀληθὲς ἔχει ὧδε. Λυγγεὺς πρῶτος ἤρξατο μεταλλεύειν χαλκὸν καὶ ἄργυρον καὶ τὰ λοιπά· ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν τὸν σίδηρον καὶ χρυσόν· ἔλεγον οὖν οἱ ἄνθρωποι ὅτι Λυγγεὺς καὶ ὑπὸ γῆν ὁρᾷ, καὶ καταδύνων ἀργύριον περιφέρει. Λύκου πτερὰ ζητεῖς : ἐπὶ τῶν ἀδυνάτων ⋮ Αἰλιανός φησι ν , ὅτι λύκοι βοὸς εἰς τέλμα βαθὺ ἐμπεσόντος ἐάν πως περιτύχωσι, ταράττουσι μὲν αὐτὸν ἔξωθεν καὶ ἐκφοβοῦσι, διανήξασθαι καὶ ἐπιβῆναι τῆς γῆς οὐκ ἐπιτρέποντες, ἀναγκάζουσι δὲ τῷ χρόνῳ στρεβλούμενον καὶ ἰλυσπώμενον ἀποπνιγῆναι.

10 80 εἶτα εἷς αὐτὸς ὁ τελεώτατος ἐμπηδήσας τῷ ὕδατι, ἐλάβετο τὸ στόματι τῆς οὐρᾶς τοῦ βοὸς καὶ ἕλκει εἰς τὸ ἔξω. καὶ ἕτερος τῆς ἐκείνου λαβόμενος αὐτὸν ἕλκει, καὶ τὸν δεύτερον ὁ τρίτος, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτον ὁ τέταρτος· καὶ οὕτως ἐξαγαγόντες τὸν βοῦν ποιοῦνται δεῖπνον. Λυδὸν εἰς πεδίον ἴσθι προκαλούμενος : ἐπὶ τῶν θᾶττον βουλομένων τι δρᾶσαι καὶ προθύμως. [10]

10 82 Λυδὸς ἐν μεσημβρίᾳ παίζει : ἐπὶ τῶν ἀκολάστων· ὡσαύτως καὶ ἐπὶ τῶν ταῖς ὥραις ἀκολασταινόντων. Λυδὸς καπηλεύει : λέγεται Κῦρον περιγενόμενον τῶν Λυδῶν, καπηλεύειν προστάξαι.

10 84 Λύκος ἀετὸν φεύγει : ἐπὶ τῶν ἀφύκτων ⋮ Οὐ ῥᾳδίως οἱ λύκοι τὴν ὠδῖνα ἀπολύουσιν, ἀλλὰ ἐν ἡμέραις δώδεκα καὶ νυξὶ τοσαύταις, ἐπὶ τοσούτῳ χρόνῳ τὴν Λητὼ εἰς Δῆλον ἐξ Ὑπερβορέων ἐλθεῖν Δήλιοι φασί. Λύκος ἔχανε : λέγουσι τὸν λύκον, ἐπειδὰν ἁρπάσαι τι βούληται, κεχηνότα παραγίνεσθαι ἐπ᾽ αὐτό· ὅταν οὖν μὴ λάβῃ, ὃ προαιρεῖται, κατὰ κενοῦ αὐτὸν χανεῖν φασίν.

10 85 ἐπὶ τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτανόντων δέ. Λύκος περὶ φρέαρ χορεύει : ἐπὶ τῶν πονούντων περί τι μάτην.

10 86 καὶ ὅτι ἄπρακτοι περίεισιν, ὅταν διψήσῃ μὴ δυνάμενος πιεῖν. καὶ ἐπὰν διώκοντος αὐτοῦ τὸ διωκόμενον ἐμπέσῃ εἰς φρέαρ. Λύκω συννόμω καὶ ἵππω , λέοντέ γε μὴν οὐκέτι : ἐπὶ τῶν μὴ συναγελαζομένων· λέαινα γὰρ καὶ λέων οὔτε τὴν αὐτὴν ἴασιν, οὔτε ἐπὶ θήρας, οὔτε πιόμενος· τὸ δὲ αἴτιον, τῇ τοῦ σώματος ῥώμῃ θαῤῥοῦντες ἄμφω· οὐ γὰρ δεῖται θατέρου ὁ ἕτερος ⋮ Τῷ λύκῳ ὁ τράχηλος εἰς βαθὺ συνῆπται· οὔκουν οἷός τε ἐπιστραφῆναι, ὁρᾷ δὲ εἰς τὸ πρόσω ἀεί· εἰ δὲ βούλοιτό ποτε εἰς τοὐπίσω θεάσασθαι, πᾶς ἐπιστρέφεται. [5]

10 87 ὀξυωπέστατον δέ ἐστι ζῷον, καὶ μέντοι καὶ νύκτωρ, καὶ σελήνης οὔσης, ὁρᾷ. ἔνθεν τοι καὶ λυκόφως κέκληται ὁ καιρὸς οὗτος τῆς νυκτός, ἐν ᾧ μόνος ἐκεῖνος τὸ φῶς ὑπὸ τῆς φύσεως προσλαβὼν ἔχει. δοκεῖ δέ μοι καὶ Ὅμηρος λέγειν ἀμφιλύκην νύκτ α , καθ᾽ ἣν ἤδη βλέποντες λύκοι βαδίζουσι. Λύειν δ ᾽ οὐκ ἔστιν , ἀγνοοῦντα τὸν δεσμόν : σαφής. [10]

10 89 Λύκον εἶδες : ἐπὶ τῶν ἀφνίδιον ἀχανῶν γενομένων ⋮ Ὁ λύκος ἐμπλησθεὶς εἰς κόρον οὐδ᾽ ἂν τοῦ βραχίστου τὸ λοιπὸν ἀπογεύσαιτο· περιτείνεται μὲν γὰρ ἡ γαστὴρ τῷδε, οἰδαίνει δὲ ἡ γλῶττα, καὶ τὸ στόμα ἐμφράγνυται· καὶ οὐκ ἂν ἐπιβουλεύσαιτο ἢ ἀνθρώπῳ ἢ θρέμμασιν, οὐδὲ εἰ τῆς ἀγέλης βαδίζει μέσος. μειοῦται δὲ ἡσυχῇ κατ᾽ ὀλίγον ἡ γλῶττα αὐτῷ, εἶτα εἰς τὸ ἀρχαῖον σχῆμα ἐπάνεισι καὶ λύκος γίνεται αὖθις. Λύχνου ἀρθέντος γυνὴ πᾶσα ἡ αὐτή : τοῦτο πρὸς τοὺς μοιχικοὺς καὶ ἀκολάστους εἴρηται καλῶς. [5]

10 90 τὴν δὲ γαμετὴν δεῖ μάλιστα τοῦ φωτὸς ἀρθέντος εἶναι μὴ τὴν αὐτὴν ταῖς τυχούσαις γυναιξίν, ἀλλὰ φαίνεσθαι τοῦ σώματος μὴ βλεπομένου τὸ σῶφρον αὐτῆς καὶ ἤδιον τῷ ἀνδρὶ καὶ τεταγμένον καὶ φιλόστοργον. Λυκόπους εἶ : ἤγουν τῶν τυράννων οἰκέτης· τοὺς γὰρ δορυφόρους τῶν τυράννων οὕτως ἐκάλουν· διὰ τὸ τοὺς ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ βάλλειν. [5]

10 91 λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι κεκαλυμμένους, ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. ἢ διὰ τὸ ἔχειν ἐπὶ τὴν ἀσπίδα ἐπίσημον λύκον. Λύκον εἶδε ς , βέβηκε ταῦρος ἀ ν ᾽ ὕλα ν . [5]

10 93 Λύκου δεκάς : ἐπὶ τῶν καλῶς δεκαζόντων. ἐπεὶ Λύκος ὁ ἥρως ἵδρυτο παρὰ τοῖς δικαστηρίοις, ἔνθα προσήδρευον οἱ συκοφάνται. ἀφώριστο δὲ αὐτῷ τριώβολον τῆς ἡμέρας. Λύκος πρὸ βοῆς σπεύδει : ἐπὶ τῶν ὑπερσπευδόντων.

10 94 καὶ γὰρ τὸ θηρίον ἁρπάσαν φεύγει. Λύχνον ἐν μεσημβρίᾳ ἅπτειν : ἐπὶ τῶν παρὰ καιρόν τι ποιούντων.

10 96 Λυσίζωνος γυνή : ἐπὶ τῶν παρθένων τῶν πρώτως πλησιαζουσῶν ἀνδρί· αἱ γὰρ παρθένοι, μέλλουσαι πρὸς μίξιν ἔρχεσθαι, ἀνετίθεσαν τὰς παρθενικὰς αὑτῶν ζώνας τῇ Ἀρτέμιδι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λυσικράτης ἕτερος : ἐπὶ τῶν μελανοτρίχων· οὗτος γὰρ φαρμάκῳ τινὶ ἐμέλαινε τὰς ἑαυτοῦ τρίχας, σιμὸς ὢν καὶ μέλας, αἰσχρὸς καὶ κλέπτης.

10 98 Λυσιστράτου πλοῦτον πλουτεῖς : ἐπὶ τῶν λίαν πενήτων· οὗτος γὰρ πένης ἦν λίαν. Λύσιοι τελεταὶ καὶ λύσαν ἀλλήλους : ἐπὶ τῶν διὰ μέθην ἐλευθερωθέντων· οἱ γὰρ Βοιωτοὶ ἁλόντες ὑπὸ Θρᾳκῶν καὶ φυγόντες εἰς Τροφωνίου, κατ' ὄναρ ἐκείνου Διόνυσον ἔσεσθαι βοηθὸν φήσαντος, μεθύουσιν ἐπιθέμενοι τοῖς Θρᾳξὶ καὶ διελύθησαν· οἳ καὶ Διονύσου Λυσίου ἱερὸν ἱδρύσαντο, ὡς Ἡρακλείδης ὁ Ποντικός.

10 99 Ἀριστοφάνης δὲ διὰ τὸ λυτρώσασθαι Θηβαίους παρὰ Ναξίων ἄμπελον. Λυδοὶ πονηρο ί , δεύτεροι Αἰγύπτιοι, τρίτοι δὲ πάντες ὧν Κᾶρες ἐξωλέστατοι.

11 1 Λύδιον ἅρμα : ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων. ὁ γὰρ Πέλωψ Λύδιος ὢν ἐνίκησε τὸν Οἰνόμαον τῷ ἰδίῳ ἅρματι· καὶ ἔκτοτε ἡ παροιμία, παραλύδιον ἅρμα θέειν· ἡ παρα πρόθεσις σημαίνει καὶ πλησιότητα, ὡς τὸ ἕζετο, παρέζετο, καὶ τὴν πλείονα σχέσιν, ὡς τὸ ὁρμᾷ, παρορμᾷ· σημαίνει καὶ τὴν ἐκτὸς σχέσιν, τὴν ἔξω τοῦ πρέποντος· ὡς τὸ ἄνομος, παράνομος· ὥστε, ὡς πεζοὶ ἦμεν ἡμεῖς παραλύδιον ἅρμα θέοντε ς . ἀντὶ τοῦ, ἔξω καὶ μακρὰν τοῦ Λυδικοῦ ἅρματος τρέχοντες κατὰ σύγκρισιν. τάχιστα γὰρ τὰ Λύδια ἅρματα. Τὸ λ μετὰ τοῦ ω.

11 2 Λωτοῦ ἔφαγες : ἐπὶ τῶν σχόντων λήθην τῶν οἴκοι, καὶ βραδυνόντων ἐπὶ ξένης. ἔστι δὲ πόα τὸ λωτὸν, λήθην ἐμποιοῦν τῷ φαγόντι. Ἀρχὴ τοῦ μ στοιχείου.

11 3t Τὸ μ μετὰ τοῦ α. Μᾶλλον ὁ Φρύξ : ἡ παροιμία ἐνθένδε· οἱ ἑπτὰ σοφοὶ ἐρωτώμενοι ὑπὸ Κροίσου, τίς τῶν σοφῶν εὐδαιμονέστατος, οἱ μὲν ἀπεκρίνοντο, τὰ ἄγρια ζῷα· ὑπὲρ γὰρ τῆς αὐτονομίας ἀποθνήσκει· οἱ δὲ, πελαργούς· δίχα γὰρ νόμου τῇ φύσει τὸ δίκαιον ἔχουσι.

11 3 Σόλων δὲ οὐδένα πρὸ τῆς τελευταίας ἡμέρας. παρεστὼς δὲ Αἴσωπος ὁ λογοποιὸς Φρὺξ τὸ γένος, τοσοῦτον, εἶπεν, ὑπερέχειν τῶν ἄλλων, ὅσον θάλασσα ποταμῶν· ἀκούσας δὲ Κροῖσος εἶπε· Μᾶλλον ὁ Φρύ ξ . Μασχαλισθήσῃ ποτέ : ἔθος ἦν τοῖς παλαιοῖς ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινά, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρόν, καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντες, κρημνάναι κατὰ τραχήλου κατὰ τῶν μασχαλῶν διάραντας· ἀφ' οὗ δὴ καὶ μασχαλίσματα προσηγόρευσαν αὐτὰ καὶ Σοφοκλῆς ἐν Ἠλέκτρᾳ καὶ Τρωΐλῳ.

11 5 Μαχητὴς ἐπέμφθης , οὐκ ἀγγελιαφόρος : ἐπὶ τῶν μὴ φυλαττόντων τὴν ἑαυτῶν τάξιν. Μαρσύας κομπάζων ἐρίζει : ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι, καὶ πολὺ ἀπολιμπανομένων ⁝ Ὁ γὰρ Μαρσύας ἀγροῖκος ἦν· γίνεται δ' οὕτω μουσικός.

11 6 ἐμίσησεν Ἀθηνᾶ τοὺς αὐλούς· οὐκ ὀλίγον γὰρ ἀφῃροῦντο τοῦ κάλλους, ἡ πηγὴ τὴν εἰκόνα δεξαμένη τὸ συμβὰν ἐδίδαξεν καὶ οὕτω δὲ ἐῤῥιμμένων τῶν αὐλῶν ὁ Μαρσύας ὑφίσταται· προσάπτει οὖν τοῖς χείλεσιν ἀνελὼν αὐτοὺς ὁ ποιμήν, οἱ δὲ ᾖδον θείᾳ δυνάμει καὶ ἄκοντος τοῦ χρωμένου. τέχνην ὁ Μαρσύας ἐνόμισεν εἶναι δύναμιν, καὶ χωρεῖ μὲν κατὰ Μουσῶν, χωρεῖ δὲ κατὰ Ἀπόλλωνος, λέγων οὐδὲ θέλειν εἶναι λοιπόν, ἂν μὴ πλεονεκτήσῃ τοῦ δαίμονος. ἐν ἐκείνῃ τῇ φιλονεικίᾳ νικᾶται καὶ τὸ δέρμα μετὰ ἧτταν ἐκδύεται. εἶδον ἐγὼ ποταμὸν ἐν Φρυγίᾳ· Μαρσύας ὄνομα τῷ ποταμῷ· καὶ ἔλεγον οἱ Φρύγες ὅτι τὸ ῥεῦμα τοῦτο ἐξ αἵματός ἐστι τοῦ Μαρσύου. Μαργίτης εἶ : οὗτος μωρὸς ἦν· καὶ ἐμέτρει τὰ κύματα, οὐ πλεῖον τῶν ἑκατὸν δυνάμενος ἀριθμεῖν.

11 8 Μανίαι οὐ πᾶσιν ὅμοιαι : τῶν μανιῶν αἱ μέν εἰσιν ἄτοποι, αἱ δ' ἀρετῆς καὶ εὐχῆς ἄξιαι, ὡς αἱ τῶν χρησμολόγων. Ματιολοιχὸς τυγχάνεις : ἐπὶ τῶν περὶ τὰ μικρὰ πανούργων καὶ λίχνων· μάτιον γὰρ τὸ μικρόν· ἢ ἐπὶ τῶν μικροφάγων· ἐπεὶ μάτιον τὸ ἐλάχιστον φασί· καὶ τοῦ λοχῶ τὸ ἐπιβουλεύομαι, ματιολοιχός· ἢ ἐπὶ τῶν κρουσιμέτρων· μάτιον γὰρ εἶδος μέτρου· ὀξυτόνως δὲ ἀναγνωστέον, ὥς φησιν Ἡρωδιανός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 10t Τὸ μ μετὰ τοῦ ε. Μεγαρέων δάκρυα : ἐπεὶ πλεῖστα ἐν τῇ Μεγαρίδι σκόροδα φύεται· εἴρηται ἐπὶ τῶν προσποιητῶς δακρυόντων.

11 10 ἄλλοι δέ φασιν, ὅτι τοῦ βασιλέως αὐτῶν ἀποθανόντος, ἠναγκάσθησαν πάντες ὑπὸ τῆς αὐτοῦ γυναικὸς δακρῦσαι. Μένε βοῦς ποτε βοτάνην : ἐπὶ τῶν βραδέων.

11 12 Μένε γραῦ ἐμόν σε παῖδα φιλήσοντα : ὁμοία τῇ προτέρᾳ. Μεδίμνῳ ἀπομετρῶ παρὰ τοῦ πατρὸς ἀργύριον : ἐπὶ τῶν μεγάλην καὶ ἀθρόαν προσδοκώντων ὠφέλειαν.

11 14 Μέγας κηληκτὰς ἐν μικρῷ πράγματι : ἐπὶ τῶν πλουτησάντων τέχνῃ οὐ τιμίᾳ· ψάλτου γάρ τινος εὐημερήσαντος, Εὐδαμίδας ἔφη πρὸς τὸν ἐρωτήσαντα, ποδαπός τις αὐτῷ δοκεῖ εἶναι. Μεγαρικαὶ Σφίγγες : πόρνας τινὰς οὕτως ἐκάλουν.

11 16 Μείζονα βοᾷ δάφνης χλοερᾶς καιομένης : ἐπὶ τῶν μέγα βοώντων. Μεῖζον φρονεῖ ἢ Πηλεὺς ἐπὶ μαχαίρᾳ : σωφροσύνης γὰρ δῶρον αὐτῷ ἐδόθη.

11 18 Μειλανίωνος σωφρονέστερος : ἐπὶ τῶν πάνυ σωφρόνων· ἦν δὲ ὁ Μειλανίων σώφρων. Μελαμπύγων τύχοις : μελάμπυγοι ἐγένοντο πέρπεροι, Λίμνης υἱοί· ἀκολασταινόντων δὲ αὐτῶν πολλὰ ἡ μήτηρ ἔλεγε φυλάσσεσθαι, μήποτε ἐμπέσωσιν εἰς δασύπρωκτον.

11 19 ἐμπεσόντες οὖν εἰς Ἡρακλέα, ἐν ἀνωφόρῳ ἐδεήθησαν· εἶτα ὁρῶν αὐτοὺς γελῶντας καὶ κατακύπτοντας ἐπυνθάνετο τὴν αἰτίαν· οἱ δὲ ἔλεγον ὅτι λόγιον ἦν τὸ τῆς μητρός, ἐμπεσεῖσθαι ἡμᾶς εἰς δασύπρωκτον· καὶ γελάσαντα τὸν Ἡρακλέα ἀφεῖναι αὐτοὺς τῶν δεσμῶν. Μέχρι τούτου κρείσσων σοῦ ἐστιν ὁ πατήρ , μέχρις ἂν καὶ σὺ γεννήσῃς : Κλεόμβροτος ὁ Παυσανίου τοῦτ’ ἔφη πρὸς Ξέρον διαφερόμενον περὶ ἀρετῆς πρὸς τὸν αὐτοῦ πατέρα.

11 21 Μεταβλητότερος Μήτρας : τῆς Ἐρισίχθονος φασίν, ὡς ὁ ποιητής, ὅτε βούλοιτο, ἀλλάσσειν τὴν ἰδέαν· ὁ δὲ μῦθος καταγέλαστος· πῶς γὰρ εἰκὸς ἐκ κόρης γενέσθαι βοῦν, καὶ αὖθις κύνα ἢ ὄρνεον; τὸ δ’ ἀληθὲς ἔχει ὧδε. Ἐρισίχθων ἦν ἀνὴρ Θετταλός, καὶ διαφθείρας τὰ χρήματα πένης ἐγένετο. ἦν δὲ θυγάτηρ αὐτῷ καλὴ καὶ ὡραία, Μήτρα ὄνομα. ὅστις δὲ εἶδεν αὐτὴν ἤρα ταύτης. ἀργυρίῳ μὲν οὖν οἱ τότε ἄνθρωποι οὐκ ἐμνηστεύοντο, ἐδίδοσαν δὲ οἱ μὲν ἵππους, οἱ δὲ βοῦς, τινὲς δὲ πρόβατα ἢ ὃ ἂν ἐθέλῃ ἡ Μήτρα· ἔλεγον οὖν οἱ Θετταλοὶ ὁρῶντες ἀθροιζόμενον τῷ Ἐρίχθονι τὸν βίον ὅτι, ἐγένετο ἡ Μήτρα αὐτῷ, καὶ ἵππος καὶ βοῦς καὶ τἄλλα. ἀφ’ ὧν ὁ μῦθος. Μέλος ἀγρέως : ἐπὶ τῶν τῇ εὐμουσίᾳ κηλόντων ⋮ Ὁ δὲ ἀγρεύς ἐστι ζῷον πτηνόν, τὸ γένος κοσύφων φράτωρ καὶ συγγενὴς, μέλας τὴν χρόαν, μουσικὸς τὴν γλῶτταν.

11 22 κέκληται δὲ ἀγρεὺς δικαίως· τῷ γάρ τοι μέλει αἱρεῖ τῶν ἄλλων ὀρνέων τὰ ἁπαλὰ προσπετόμενα τῇ τῆς εὐμουσίας θέλξει. εἰδὼς οὖν τὸ συμφυὲς αὐτῷ πλεονέκτημα, ἀκούων μὲν ἑαυτοῦ εὐφραίνεται, θηρῶν δὲ τὰ προσιόντα ἐμπίπλαται. τοῦτον εἴ τίς ποτε ἐθήρασε καὶ ἐν οἰκίσκῳ καθεῖρξεν, ἔχει ἄφωνον τὸν ὄρνιν, ὥσπερ οὖν τὸν θηράσαντα ἀμυνόμενον ὑπὲρ τῆς δουλείας τῇ σιωπῇ. Μεθυσοκότταβος ἐγένου : πλάταξ χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην, εἶτα εἰς μικρὰ ποτήρια ἐμβαλόντες οἶνον, εἰς ταύτην ἀπὸ ὕψους ἐῤῥίπτουν ἐπὶ τῷ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κόταβος.

11 23 ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν. ἐκ τούτου οὖν μεθυσοκότταβος. Μελιτηροὶ κύνες : ἐπὶ τῶν ἐπὶ τέρψει καλῶς τρεφομένων· τῶν γὰρ κυνῶν οἱ μὲν ἰχνευταί· οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν· οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί· οἱ δὲ ἐπὶ τέρψει.

11 25 Μετάδος μοι πηγάνου , ἵνα μὴ βασκάνῃς με : τὸ γὰρ πήγανόν φασι βασκανίας φάρμακον εἶναι· ὡς Ἀριστοτέλης ἐν τοῖς προβλήμασιν. Μερὶς οὐ πνίξ : τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων καὶ ἐπὶ τούτῳ ἐκείνων πνιγομένων, ἐπεὶ ἄρα αὐτοῖς βοηθεῖν οὐκ ἠδύναντο, ἐπενοήθη ὁ μερισμός· καὶ ἕκαστος ἑκάστῳ τὸ ἶσον λαμβάνων ἐπεφώνει· Μερὶς οὐ πνίξ · ἢ καὶ οὕτως· Μερὶς οὐ πνιγή.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 27 Μετὰ Λέσβιον ᾠδόν : παρὰ Κρατίνῳ παροιμία λεγομένη, ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν, χρησμὸς ἐγένετο, τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· οἱ δ’ ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ’ αἵματι φεύγοντα μεταπεμψάμενοι, ἤκουσαν αὐτοῦ ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν. ἢ διότι Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον, ὃς ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν· εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινος ἤκουον οἱ Λακεδαιμόνιοι ἔλεγον, Μετὰ Λέσβιον ᾠδό ν . Μετὰ Μουσῶν Κόρυδος : ἐπὶ τοῦ πεπαιδευμένου· ἢ κοινῇ ἐπὶ τοῦ συνόντος ἀπαιδεύτου τοῖς πεπαιδευμένοις.

11 28 καθ’ ὑπόκρισιν δὲ ἀναγνωστέον. ὁμοία τῇ· Καρικὴ Μοῦσ α . Μετὰ γραμμάτων Ἐφεσίων παλαίεις : ἐπὶ τῶν ἐπῳδαῖς ἰσχυόντων.

11 29 ταῦτα δὲ ἦσαν ἐπῳδαί τινες δυσπαρακολούθητοι· ἃς καὶ Κροῖσος ἐπὶ τῆς πυρᾶς εἰπεῖν. καὶ ἐν Ὀλυμπίοις Μιλησίου καὶ Ἐφεσίου παλαιόντων, τὸν Μιλήσιον μὴ δύνασθαι παλαίειν διὰ τὸ τὸν ἕτερον παρὰ τῷ ἀστραγάλῳ ἔχειν τὰ Ἐφέσια γράμματα· φανεροῦ δὲ γενομένου καὶ λυθέντων αὐτῷ τριάκοντα ἑξῆς πεσεῖν τὸν Ἐφέσιον. Μετὰ πόλεμον ταραχὴ ἢ συμμαχία : καὶ, μετὰ Μαραθῶνα μάχη : ἐπὶ τῶν μετὰ ὑπόθεσίν τινα ἐπικίνδυνον, ἑτέρᾳ ἐντυχόντων οὐκ ἐλάττονι τῆς προτέρας.

11 31 Μέτρῳ ὕδωρ πίνοντες , ἀμετρίᾳ δὲ μάζαν ἔδοντες : οὗτος ὁ στίχος εἰς παροιμίαν περιέστη ἔκ τινος χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς Συβαρίταις. ὑβρισταὶ γὰρ ὄντες καὶ ἀμετροπόται ἀπώλοντο ὑπὸ τῶν Κροτωνιατῶν· τοῖς οὖν διαφυγοῦσιν αὐτῶν οὕτως ἐχρήσθη. Μέλιτος μυελός : ἐπὶ τῶν ἄγαν ἡδέων.

11 33 Μέγα τὸ στόμα τοῦ ἐνιαυτοῦ : οἷον, πολλὴ παῤῥησία πάντων εὐφορίας γενομένης. Τὸ μ μετὰ τοῦ η.

11 34 Μητραγύρτου θάνατος : οὗτος ἐλθὼν εἰς τὴν Ἀττικὴν ἐμύει τὰς γυναῖκας τῇ μητρὶ τῶν θεῶν, ὡς ἐκεῖνοι φασί. οἱ δὲ Ἀθηναῖοι ἀπέκτειναν αὐτὸν ἐμβαλόντες εἰς βάραθρον ἐπὶ κεφαλήν· λοιμοῦ δὲ γενομένου, ἔλαβον χρησμὸν ἱλάσασθαι τὸν πεφονευμένον. καὶ διὰ τοῦτο ᾠκοδόμησαν δικαστήριον, ἐν ᾧ ἀνεῖλον τὸν μητραγύρτην, καὶ παραφράττοντες αὐτὸν καθιέρωσαν τῇ μητρὶ τῶν θεῶν, ἀναστήσαντες καὶ ἀνδριάντα τοῦ μητραγύρτου. ἐχρῶντο δὲ τῷ μητρῴῳ ἀρχείῳ καὶ νομοφυλακείῳ, καταχώσαντες καὶ τὸ βάραθρον. Μὴ προσοβήσῃς τὴν θήραν : ἐπὶ τῶν παρὰ καιρὸν πραττόντων τι.

11 36 Μὴ σπεῦδε γῆμαι πρὶν τελευτήσαν τ ’ ἴδῃς : ἐπὶ τῶν ἀκαίρως καὶ ῥᾳθύμως ποιούντων τί. Εὐμενὴς γὰρ ἐπιβουλευθεὶς ὑπὸ Περσέως ἔδοξε τεθνάναι· τῆς δὲ φήμης εἰς Πέργαμον κομισθείσης, Ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ περιθέμενος τὸ διάδημα καὶ τὴν γυναῖκα γήμας ἐβασίλευσε πυθόμενος δὲ προσιόντα ζῶντα τὸν ἀδελφὸν ἀπήντησεν ὥσπερ εἰώθει μετὰ τῶν σωματοφυλάκων δοράτιον ἔχων. Ὁ δὲ Εὐμενὴς φιλοφρόνως ἀσπασάμενος αὐτὸν καὶ πρὸς τὸ οὖς εἰπὼν τοῦτο, οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον οὔτ’ εἶπεν ὕποπτον, οὔτ’ ἐποίησεν, ἀλλὰ καὶ τελευτῶν ἐκείνῳ τὴν γυναῖκα καὶ τὴν βασιλείαν ἀπέλιπεν. Μὴ τέφραν φεύγω ν , εἰς ἀνθρακιὰν πέσῃ ς .

11 38 Μὴ κακούργει τὴν μουσικήν : ἀντὶ τοῦ, μὴ ἀσύμφωνα λέγε· Ἐμηρεπὴς εἶπε τοῦτο Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα γε ἐκτεμών. Μηχανικώτερος κόκκυκος : σοφώτατος ὁ κόκκυξ καὶ πλέκειν εὐπόρως ἐξ ἀπόρων μηχανὰς δεινότατος.

11 39 ἑαυτῷ μὲν γὰρ συνεπίσταται ἐπῳάζειν οὐ δυναμένῳ καὶ ἐκλέπειν, διὰ ψυχρότητα τῆς ἐν τῷ σώματι κράσεως. οὐκοῦν ὅταν τίκτῃ, οὔτε αὐτὸς νεοττιὰν ὑποπλέκει, οὔτε τιθηνεῖται τὰ βρέφη· φυλάττει δὲ ἄρα τοὺς τῶν νεοττειῶν δεσπότας καὶ πλανωμένους, καὶ παρελθὼν εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταγωγὴν ὀθνείαν, ἐντίκτει. οὐ πάντων δι’ ὀρνίθων καλλιαῖς ἐπιπηδᾷ οὗτός γε, ἀλλὰ κορύδου καὶ φάβης καὶ χλωρίδος· τούτους γὰρ συνεπίσταται ὅμοια ᾠὰ τίκτειν. καὶ κενῶν μὲν αὐτῶν οὐσῶν, οὐκ ἂν παρέλθῃ· ᾠῶν δὲ ἔνδον ὄντων, εἶτα μέντοι τὰ ἑαυτοῦ παρενέμιξεν· ἐὰν δὲ ᾖ πολλὰ τὰ ἐκείνων, τὰ μὲν ἐκκυλίσας ἠφάνισε, τὰ δὲ ἑαυτοῦ κατέλιπε φωραθῆναι δι’ ὁμοιότητος μὴ δυνάμενα. καὶ οἱ μὲν ὄρνιθες οἱ προειρημένοι τὰ μηδὲν σφίσι προσήκοντα ἐκλέπουσιν· ὑποπηγνύμενα δὲ ἐκεῖνα, ἑαυτοῖς συνεγνωκότα τὴν νοθείαν ἐπιπέταταί τε, καὶ παρὰ τὸν γεινάμενον στέλλεται. ἦρος δὲ ὑπερχομένου ἐμφανής ἐστιν ὁ κόκκυξ εἰς ἀνατολὰς σειρίου, εἶτα τῆς τῶν πολλῶν ὄψεως ἀνεχώρησαν. Μὴ πρίω μικρὰν ἡδονὴν μεγάλου κινδύνο υ .

11 41 Μὴ νεκρῶν θήκας κίνει : ἐπὶ τῶν φυλαργύρων. ἡ γὰρ Σεμύραμις ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν· ὅστις ἂν χρημάτων δεηθῇ βασιλεὺς διελὼν τὸ μνημεῖον, ὅσα βούλεται λαμβανέτω· Δαρεῖος οὖν διελὼν χρήματα μὲν οὐχ εὗρε, γράμμασι δὲ ἐνέτυχε τάδε φράζουσιν· εἰ μὴ κακὸς ἦσθα ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις. ἐνθεῦτεν οὖν ἡ νουθετικὴ παροιμία αὕτη παρήχθη. Μὴ ὢν Σύρος , μὴ σύριζε : ἐπὶ τῶν παρ’ ἀξίαν τι ποιούντων.

11 43 Μηδικὴ τράπεζα : ἐπὶ τῶν εὐπόρων· ἁβροδίαιτοι γὰρ οἱ Μῆδοι. Μὴ κίνει κακὸν εὖ κείμενον : ἐπὶ τῶν παρακινούντων τινὰ ἐπὶ σφετέρᾳ βλάβῃ.

11 45 Μήτε μέλι , μήτε μελίσσας : ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι εὐκταῖον μετὰ πόνου. Μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης : ἐπὶ τῶν κατ’ ἰσχὺν ἀνίσων.

11 47 Μὴ κάρφος κινεῖν : ἐπὶ τῶν ἡσύχων. Μὴ μάχαιραν αἴρει θῆλυ : ἐπὶ τῶν ἀδυνάτων βοηθεῖν.

11 49 Μὴ κίνει Καμάριναν : λίμνη ἦν, ἣν μετοχετεῦσαι βουλόμενοι ἐχρήσαντο τῷ θεῷ, ὁ δὲ εἶπε· μὴ κίνει Καμάριναν· οἱ δὲ παρακούσαντες ἐβλάβησαν. οἱ δέ φασι βοτάνην δυσωδίαν ἀποπέμπουσαν ἐν τῷ κινεῖσθαι. Μήτε τυφλὸν ὁδηγὸν , μή τ ’ ἀνόητον ξύμβουλον : παραινετική ἐστί.

11 51 Μὴ παιδὶ μάχαιραν : μὴ τοῖς ἀπείροις ἐγχειρίζειν πράγματα μεγάλα, μή πως καθ’ ἑαυτῶν χρήσωνται. Μὴ εἰκῇ τὴν Ἄβυδον : λείπει, παραπλεῖν.

11 52 ἐπὶ τῶν διακινδυνευόντων. Μήτε νεῖν , μήτε γράμματα : ἐπὶ τῶν ἀμαθῶν· ταῦτα γὰρ ἐκπαιδόθεν ἐν ταῖς Ἀθήναις ἐμάνθανον.

11 54 Μηδέποτε μηδεὶς Μεγαρέων γένοιτο σοφώτερος : ἐπὶ τοῦ ἀναισθήτου. χαριεντιζόμενοι δὲ τοῦτο ἔλεγον. Μὴ λόγους ἀν τ ’ ἀλφίτων : ἐπὶ τῶν τινος ἀξιούντων τυχεῖν.

11 56 Μηδέποτε ἔρδειν γέροντα μηδὲ γυναῖκα μηδὲ παῖδα βάσκανον μηδὲ κύνα τινὸς μηδὲ λάλον κωπηλάτην : παραινεῖ εἰς ἄχρηστα μὴ ἀναλίσκειν. Μῆλα Ἑσπερίδων μοι ἐδωρήσω : ἐπὶ τῶν πολυτελῆ χαριζόντων: Λέγουσιν ὅτι γυναῖκές τινες ἦσαν Ἑσπερίτιδες· ταύταις δ’ ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἃ ἐφύλασσε δράκων· ἐφ’ ἃ μῆλα καὶ Ἡρακλῆς ἐστρατεύσατο· ἔχει δὲ ἡ ἀλήθεια ὧδε.

11 57 Ἕσπερος ἦν ἀνὴρ Μιλήσιος, ὃς ᾤκει ἐν τῇ Καρίᾳ, καὶ εἶχε θυγατέρας δύο, αἳ ἐκαλοῦντο Ἑσπερίτιδες· τούτῳ δὲ ἦσαν ὄϊς καλαὶ καὶ ἔγκαρποι, οἷαι καὶ νῦν αἱ ἐν Μιλήτῳ. ἐπὶ τούτῳ δὴ ὀνομάζονται χρυσαῖ· κάλλιστον γὰρ ὁ χρυσός· ἦσαν δὲ ἐκεῖναι κάλλισται. μῆλα δὴ καλεῖται τὰ πρόβατα· ἅπερ ἰδὼν ὁ Ἡρακλῆς βοσκόμενα περὶ τὴν θάλατταν, περιελάσας ἐνέθετο εἰς τὴν ναῦν, καὶ τὸν ποιμένα αὐτῶν ὀνόματι Δράκοντα εἰσήγαγεν εἰς οἶκον, οὐκέτι ζῶντος τοῦ Ἑσπέρου, ἀλλὰ τῶν παίδων αὐτοῦ. ἔλεγον οὖν οἱ ἄνθρωποι, ἐθεασάμεθα χρυσᾶ μῆλα, ἃ Ἡρακλῆς ἤγαγεν ἐξ Ἑσπερίδων, τὸν φύλακα ἀποκτείνας δράκοντα. Μὴ θεᾶς ἄνθρωπον ὡς Ἀθάμας : λείπει τὸ ἑλοῦ.

11 58

ἐπὶ τῶν αἱρουμένων τῶν κρειττόνων τὰ ἥττονα ⋮ Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχε, Φρύξον καὶ Ἕλλην· ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη· ζηλοτυπήσασα οὖν ἡ Νεφέλη, ἀπέπτη εἰς οὐρανὸν καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέπομφε δὲ θεωροὺς εἰς Ἀπόλλω Ἀθάμας ἐρέσθαι περὶ τοῦ αὐχμοῦ· ἡ οὖν τούτου γυνὴ θέλουσα Φρύξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντα, ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ὁ Πύθιος, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσειε παῖδας. ἀκούσας οὖν ὁ Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων· εἷς οὖν κριὸς ἀνθρωπίνῃ φωνῇ χρησάμενος λέγει Φρύξῳ καὶ Ἕλλῃ περὶ τῆς σφαγῆς. φευγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ. ὅθεν καὶ ἀπ’ ἐκείνης Ἑλλήσποντος κέκληται. Φρύξος δὲ ἐποχούμενος τῷ κριῷ εἰς τὴν τῶν Κόλχων γῆν περισώζεται. ἔνθα καὶ τὸν κριόν, ὃς ὑπὸ θεῶν χρυσόμαλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ· καὶ κατοικήσας αὐτόθι τοὔνομα καταλέλοιπε τῷ τόπῳ· ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη· Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε· προσαχθεὶς οὖν στεφανηφορῶν, ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγιαζόμενος ὑπὸ Ἡρακλέους σέσωστο· οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε κατὰ τὸν μῦθον. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἀθάμας ὁ Στόλου τοῦ Ἕλληνος ἐβασίλευσε τῆς Φθίας· ἦν δὲ αὐτῷ ἀνὴρ ἐπίτροπος τῶν χρημάτων, ὃν μάλιστα πιστὸν ἡγεῖτο, ὀνόματι Κριόν. ὃς αἰσθόμενος τὸν Ἀθάμαντα ἀποκτεῖναι ἐθέλοντα τὸν Φρύξον, δηλοῖ τοῦτο τῷ Φρύξῳ· ὁ δὲ Φρύξος κατεσκεύασε ναῦν, καὶ ἔθετο ἐν αὐτῇ χρήματα πάμπολλα, ἐν ᾗ νηῒ καὶ ἡ μήτηρ Πέλοπος· ὄνομα δ’ αὐτῇ Ἠώς· καὶ αὕτη ἐκ τῶν αὐτῆς χρημάτων εἰκόνα ποιησαμένη χρυσῆν ἐνέθετο. σὺν τοῖς χρήμασι γοῦν καὶ Φρύξον καὶ Ἕλλην ὁ Κριὸς ἐν ταύτῃ ἐνθεὶς ᾤχετο ἀπιών· ἡ μὲν οὖν Ἕλλη κατὰ τὸν πλοῦν ἀσθενήσασα ἀπέθανεν· ἐξ ἧς καὶ Ἑλλήσποντος ἐκλήθη· αὐτοὶ δὲ ἀφικόμενοι εἰς τὸν Φάρον κατοικοῦσιν αὐτοῦ, καὶ γαμεῖ Φρύξος τὴν τοῦ τῶν Κόλχων βασιλέως θυγατέρα Αἰήτου, δοὺς ἕδνα τούτῳ τὴν χρυσῆν εἰκόνα τῆς Ἠοῦς, ἀλλ’ οὐχὶ δέρμα κριοῦ. οὕτως ἡ ἀλήθεια ἔχει. Τὸ μ μετὰ τοῦ ι. [40]

11 59 Μικρὸν κακὸν μέγα ἀγαθόν : πολλάκις μικρὸς πόνος καὶ κακόν τι δοκοῦν μεγάλων γίνεται πρόξενον καλῶν. Μικρὸς ὁ σὸς ἀεὶ πῶλος : ἐπὶ τῶν διὰ βραχύτητα ἡλικίας νεάζειν λεγόντων.

11 6 Μίνθην ἐν πολέμῳ μή τ ’ ἔσθιε , μήτε φύτευε : ἐπὶ τῶν φθειρόντων, μηδὲν δ’ ἀνδρεῖον ἢ θυμῶδες ἐνδεικνυμένων. Μίτος ἔριδος τό τ ’ ἦν : ἐπὶ τῶν ἐριζόντων καὶ διατεινομένων.

11 63 Μία χελιδὼν ἔαρ οὐ ποιεῖ : βούλεται δὲ εἰπεῖν, μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν ⋮ Ἐν τῇ Ἀλεξανδρείᾳ τοῦ Πύῤῥου παιδὸς σκηνῇ χελιδὼν νεοττεύουσα εἶτα μέντοι ἀτελῆ τὴν πρᾶξιν αὐτῷ ἐφ’ ἥνπερ οὖν ὡρμᾶτο ὑπεσήμηνεν, οὐ πάνυ τοι οὖσαν ἀγαθήν. καὶ Ἀντιόχῳ δὲ νεοττεύουσα ἐν αὐτοῦ τὰ μέλλοντά οἱ ἀπαντήσεσθαι ὑπηνίξατο· ἀνελθὼν δὲ ἐς τοὺς Μήδους εἶτα μέντοι οὐκ ἐπανῆλθεν ἐς τοὺς Σύρους, ἀλλ’ ἑαυτὸν κατά τινα ἔωσε κρημνόν· ὥρμητο δὲ ἄρα ἐπὶ πρᾶξιν οὐ χρηστὴν καὶ οὗτος. ἡνίκα δὲ ἐξέλιπε τὴν ἀκρόπολιν τὸ πρότερον Διονύσιος, συνανήχθησάν οἱ καὶ αἱ νεοττεύουσαι χελιδόνες ἐκεῖθι, καὶ ἐμαντεύοντο τὴν ἐπάνοδον ⋮ Ἔτι φασὶ τὰς χελιδόνας ὑπὸ τῶν μητέρων τὴν παρ’ αὐταῖς ᾠδὴν ἐκδιδάσκεσθαι. Μία μάστιξ ἐλαύνει : ἐπὶ τοῦ ῥᾳδίου. [10]

11 65 Μίδας ὄνου ὦτα : ὅτι ὠτακουστὰς εἶχεν. οἱ δὲ χωρίον αὐτοῦ φασιν οὕτω καλεῖσθαι ὑπ’ αὐτοῦ ληφθὲν ἀνάλωτον. Μισθὸς ἀρετῆς ἔπαινο ς , κακίας δὲ ψόγο ς .

11 67 Μίδου χρήματα : ἐπὶ τῶν ἄγαν πλουσίων ⋮ Οὗτος ὁ Μίδας σφόδρα πλούσιος ἦν. ᾔτησε δὲ, ὡς φασί, τοὺς θεοὺς, ὅ τι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γενέσθαι. καὶ τυχὼν τῆς εὐχῆς, λιμαγχονηθεὶς ἀπέθανεν· ὅσα γὰρ ἐλάμβανεν εἰς χρυσὸν μετεβάλλετο· μυθεύονται δὲ αὐτὸν καὶ ὦτα ὄνου ἔχειν, ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν, οἷάπερ ὄνος. τὸ δὲ ἀληθές, ὅτι πολλοὺς εἶχεν ὠτακουστάς, ὡς πάντ’ ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ’ αὐτὸν χώρᾳ λεγόμενα καὶ πραττόμενα ⋮

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μάξιμος δὲ ὁ Τύριος περὶ αὐτοῦ ὧδέπως ἱστόρηκεν. Ἀνὴρ Φρὺξ ἀργὸς τὸν βίον, ἐραστὴς χρημάτων, λαμβάνει τὸν Σάτυρον, ὡς φησὶν ὁ μῦθος, δαίμονα φίλοινον, κεράσας οἴνῳ κρήνην, εἰς ἣν φοιτῶν διψήσας ἔπινεν. εὔχεται ὁ ἀνόητος Φρὺξ δαίμονι αἰχμαλώτῳ, εὔχεται δὲ εὐχὴν, οἵαν εἶκος ἦν καὶ τοῦτον αἰτεῖν καὶ ἐκεῖνον τελεσιουργεῖν, γενέσθαι αὐτῷ τὴν γῆν χρυσῆν καὶ τὰ δένδρα χρυσᾶ καὶ τὰ λήϊα καὶ τοὺς λειμῶνας καὶ τὰ ἐν αὐτοῖς ἄνθη. δίδωσι ταῦτα ὁ Σάτυρος. ἐπεὶ δὲ αὐτῷ ἐχρύσωτο ἡ γῆ, λιμὸς εἶχε Φρύγας· καὶ ὁ Μύδας ὀδύρεται τὸν πλοῦτον καὶ ποιεῖται παλινῳδίαν τῆς εὐχῆς καὶ εὔχεται Σατύρῳ μὲν οὐκέτι, θεοῖς δὲ καὶ θεαῖς, ἐλθεῖν αὐτῷ τὴν ἀρχαίαν πενίαν, τὴν εὔφορον ἐκείνην καὶ πάμφορον καὶ καρποτρόφον, τὸν δὲ χρυσὸν ἀπελθεῖν εἰς ἐχθρῶν κεφαλάς. ὁ μὲν ταῦτα εὔχετο ποτνιώμενος, ἐτελεῖτο δὲ οὐδὲν μᾶλλον. ἐπαινῶ τὸν μῦθον τῆς χάριτος καὶ τῆς πρὸς τἀληθὲς ὁδοῦ. τί γὰρ ἄλλο αἰνίττεται, ἢ ἀνοήτου ἀνδρὸς εὐχὴν ἐπ' οὐδενὶ χρηστῷ, εὐχομένου μὲν ἵνα τύχῃ, μεταγινώσκοντος δὲ ἐπειδὰν τύχῃ; τὴν δὲ θήραν τοῦ Σατύρου καὶ τὰ δεσμὰ καὶ τὸν οἶνον ᾐνίξατο ὁ μῦθος· ὅτι οἱ μὲν ἀπαιτήσαντες, οἱ δὲ καὶ βιασάμενοι, τυχόντες ὧν ἐπεθύμουν, οὐχ ὧν εὔξαντο, ἀνατιθέασι θεοῖς τὴν δωρεάν, οὐ παρ' ἐκείνων λαβόντες. οὐδὲν γὰρ τῶν μὴ καλῶν δίδωσιν ὁ θεός. ἀλλ' ἐστὶ ταῦτα δωρεὰ τύχης, ἄλογος ἀλόγου, οἷαι αἱ παρὰ τῶν μεθυόντων φιλοφροσύναι. Μία λόχμη δύο ἐριθάκους οὐ τρέφει : ἐπὶ τῶν ἐκ μικροῦ τινος κερδαίνειν σπουδαζόντων· ἐρίθακος δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.

11 69 Μικρὸς ἡλίκος Μόλων : ἐπὶ τῶν πάνυ βραχέων. Μικρὸν τὸ ὀβολοῦ τίμιον : λέγεται ἐπὶ τῶν πονηρῶν.

11 71 Μικρόθεν ἡ ἀγαθὴ ἄκανθα φαίνεται : ἐπὶ τῶν ἐκ πρώτης ἡλικίας φαινομένων ἀγαθῶν γενέσθαι. Τὸ μ μετὰ τοῦ ν.

11 72 Μνήμην καμήλου : ἐπὶ τῶν μνημονικωτάτων· μνημονικώτατον γὰρ τὸ ζῷον ἡ κάμηλος ⋮ Δότε μοι τοὺς τραγῳδούς, πρὸς τοῦ πατρῴου Διός, καὶ πρό γε ἐκείνων τοὺς μυθοποιοὺς ἐρέσθαι, τί βουλόμενοι τοσαύτην ἄγνοιαν τοῦ παιδὸς τοῦ Λαΐου κατέχουσι καὶ τοῦ Τηλέφου τοῦ συνελθόντος τῇ μητρὶ τὴν δυστυχῆ σύνοδον, τοῦ μὴ πειραθέντος μὲν τῆς ὁμιλίας, συγκατακλιθέντος δὲ τῇ γειναμένῃ καὶ πράξαντος ἂν τὰ αὐτά, εἰ μὴ πολλάκις θείᾳ πομπῇ διεῖρξεν ὁ δράκων· εἴ γε ἡ φύσις τοῖς ἀλόγοις ζῴοις τοιαύτην μίξιν καὶ ἐκ τοῦ χρωτὸς προσαψαμένοις δίδωσι κατανοῆσαι, οὔποτε οὖν τῇ τεκούσῃ ὁμιλήσει ὁ κάμηλος. ὁ δέ τοι νομεὺς τῆς ἀγέλης κατακαλύψας τὸν θῆλυν, ὡς οἷόν τε ἦν, καὶ ἀποκρύψας πάντα πλὴν τῶν ἄρθρων, ἐπάγει τῇ μητρὶ τὸν παῖδα καὶ ἐκεῖνος λάθριος ὑπὸ ὁρμῆς τῆς πρὸς μίξιν ἔδρασε τὸ ἔργον καὶ συνῆκε· καὶ τὸν μὲν αἴτιον τῆς ὁμιλίας οἱ τῆς ἐκθέσμου δάκνων καὶ πατῶν καὶ τοῖς γόνασι παίων ἀπέκτεινεν, ἑαυτὸν δὲ κατεκρήμνισεν. ἀμαθὴς δὲ καὶ κατὰ τοῦτο Οἰδίπους, οὐκ ἀποκτείνας, ἀλλὰ πηρώσας τὴν ὄψιν. Μνησικακία καμήλου : ἐπὶ τῶν ἄγαν μνησικάκων.

11 73 φασὶ γὰρ αὐτὴν πάνυ τοι μέχρι πολλοῦ διαμνημονεύειν ὧν ἂν τύχοι παθοῦσα κακῶν, καὶ ἀνιστορεῖν τοὺς ταῦτα πεπραχότας, εἴ που ἐντύχοι ⋮ Ὁ δὲ στρουθοκάμηλος ᾠὰ μὲν ἀποτίκτει πολλά, καὶ πάντα δὲ τρέφει, ἀλλὰ ἀποκρίνει τὰ ἄγοντα, τοῖς ἐγκάρποις δ' ἐπῳάζει· καὶ ἐκ μὲν τούτων τοὺς νεοττοὺς ἐξέλεψεν, ἐκεῖνα δὲ τὰ ἐκφαυλισθέντα τούτοις τροφὴν παρατίθησιν. εἰ δὲ διώκοιτο καὶ ἁλίσκεσθαι μέλλοι τοὺς παραπίπτοντας λίθους εἰς τοὐπίσω σφαινδονᾷ τοῖς ποσίν ⋮ Ἐπτέρωται δὲ λασίοις μὲν τοῖς πτεροῖς, ἀρθῆναι δὲ καὶ εἰς βαθὺν ἀέρα μετεωρισθῆναι φύσιν οὐκ ἔχει· θεῖ δὲ ὤκιστα, καὶ τὰς παρὰ πλευρὰν ἑκατέραν πτέρυγας ἁπλοῖ, καὶ ἐμπίπτον τὸ πνεῦμα κολποῖ δίκην ἱστίων αὐτάς. Τὸ μ μετὰ τοῦ ο.

11 74 Μόσχος ᾄδων Βοιώτιον : Μόσχος φαῦλος κιθαρῳδός, πολλὰ ἀπνευστὶ ᾄδων. τὸ δὲ Βοιώτιον οὕτω καλούμενον εὗρε Τέρπανδρος, ὥσπερ καὶ ὁ Φρὺξ τὸν Φρύγιον. Μοριῶν μὴ θίγγανε : ἐπὶ τῶν ἱεροσύλων· μορίαι γὰρ ἐλέγοντο αἱ ἐλαῖαι, αἳ ἦσαν ἱεραὶ τῆς Ἀθηνᾶς· ἐξ ὧν τὸ ἔλαιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔπαθλον ἐδίδοντο τοῖς νικῶσι τὰ Παναθήναια· ἦσαν δὲ πρῶται δώδεκα τὸν ἀριθμὸν, αἱ μεταφυτευθεῖσαι ἐκ τῆς ἀκροπόλεως εἰς Ἀκαδήμιαν.

11 75 ἤτοι ἀπὸ μόρου καὶ τοῦ φόνου τοῦ Ἁλιῤῥοθίου ὀνομασθεῖσαι οὕτως, ἢ ὅτι ἐνέμοντο καὶ ἐμερίζοντο τὸ ἔλαιον τὸ ἐξ αὐτῶν Ἀθηναῖοι ἅπαντες. Μόνος γὰρ θεῶν θάνατος οὐ δώρων ἐρ ᾷ .

11 77 Μολὼν λάβε : Λεωνίδας Ξέρξου γράψαντος αὐτῷ· πέμψον τὰ ὅπλα· ἀντέγραψε τοῦτο, δηλῶν, ὅτι ἑκὼν εἶναι οὐ δώσει. Μόναι Λάκαιναι ἄνδρας τίκτουσι : παρόσον ἐκεῖναι γενναιοτάτους παῖδας τίκτουσι.

11 79t Τὸ μ μετὰ τοῦ υ. Μυκώνειος γείτων : αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ σμικροπρεπείᾳ· παρὰ τὴν σμικρότητα τῆς νήσου τῆς Μύκωνος καὶ εὐτέλειαν.

11 80 Μυκωνείων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια : διὰ γὰρ τὸ πένεσθαι, διεβέβληντο ἐπὶ αἰσχρότητι. εἴρηται δὲ ἐπὶ τῶν ἀκλήτως εἰσιόντων εἰς τὰ συμπόσια. Μύδας ὀφθαλμοὺς Ἰνδικὸς δοκιμάζει : ἔστι δὲ ὁ μύδας λίθος ἐν Ἰνδίᾳ, διττὰ ἀφιεὶς τὰ σέλα, τοῖς μὲν πονήρως ἔχουσι τῶν ὀμμάτων δριμὺ καὶ πυρῶδες καὶ ἐπιεικῶς φλογωπόν, τοῖς δὲ κατὰ φύσιν καὶ ῥωστικὸν καὶ σωτήριον.

11 82 Μῦς ἔδηξε Βρασίδαν ἐν ἰσχάσιν : ὅτι δεῖ καὶ τὸν μικρὸν φυλάττεσθαι ⁝ Οἱ μύες εἰσὶ μὲν καὶ ἄλλως πολύγονα ζῷα, καὶ ἀθρόᾳ τῇ ὠδῖνι πολλὰ τίκτουσιν· εἰ δέ πως καὶ ἁλὸς γευσάμενοι τύχοιεν, ἐνταῦθα δήπου καὶ πάμπολλα ἀποκυΐσκουσιν ⁝ Οἱ μὲν κατὰ τὴν οἰκίαν μῦς, δειλὰ ζῷα, καὶ φοβοῦνται κτύπον, καὶ γαλῆν πεφρίγασι κρίξασαν. δειλοὶ δὲ καὶ οἱ ἀρουραῖοι. θρασύτατοι δὲ οἱ θαλάττιοι. μικρὸν δὲ αὐτῶν τὸ σῶμα, τόλμα δὲ ἄμαχος καὶ θαῤῥοῦσι δύο ὅπλοις, δορᾷ τε εὐτόνῳ καὶ ὀδόντων κράτει· μάχονται δὲ καὶ τοῖς ἰχθύσι τοῖς ἁδροτέροις, καὶ τῶν ἁλιέων τοῖς μάλιστα θηρατικοῖς. Μυσῶν λεῖαν : ἐπὶ τῶν κακῶς διαρπαζομένων· οἱ γὰρ κατ’ ἐκεῖνον τὸν χρόνον λησταὶ καὶ ἀστυγείτονες τοὺς Μυσοὺς ἐληΐζοντο μετὰ τὴν τοῦ Τηλέφου ἀποδημίαν, ὥς φησι Δήμων ἐν πρώτῃ παροιμιῶν.

11 84 Μυσὴ κανθαρίς : ἐπὶ τῶν μηδενὸς ἀξίων. Μύλος πάν τ ’ ἀκούει : ἐπὶ τῶν προσποιουμένων μὲν μὴ ἀκούειν, ἀκουόντων δέ· ὁ δὲ Μύλος ἦν ποιητὴς κωμῳδιῶν, ὃς μὴ ἀκούειν ὑπεκρίνετο.

11 86 Μυῤῥινῶν ἀρχῆς ἐπιθυμεῖς : μυῤῥίναις γὰρ στεφανοῦνται οἱ ἄρχοντες. Μῦς λευκός : ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται· οἱ γὰρ κατοικίδιοι μύες ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται, καὶ μάλιστα οἱ λευκοί· οὗτοι δέ εἰσι θήλεις.

11 88 Μῦς δακὼν παῖ δ ’ ἀπέφυγε : παρόσον καὶ οἱ μικροὶ τοὺς μεγάλους λυποῦσιν ἐνίοτε. Μῦς πίσσης γεύεται : ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων.

11 90 Μῦς εἰς τρώγλην οὐ χωρῶν , κολοκύνταν ἔφερεν : ἐπὶ τῶν ἑαυτοῖς μὴ δυναμένων καὶ ἄλλοις θελόντων βοηθῆσαι καὶ περιποιήσασθαι. Μωρότερος Μωρύχου : ἐπὶ τῶν εὔηθές τι διαπραττομένων· οὗτος γὰρ ὁ Μώρυχος τὰ ἔνδον ἀφεὶς, ἔξω τῆς οἰκίας ἐκάθητο.

11 91 λέγεται δὲ παρὰ Σικελιώταις Μώρυχος καὶ Διόνυσος· διὰ τὸ μολύνεσθαι αὐτοῦ τοῦ πρόσωπον ἐν τρυγί. Μωρὸς σιωπᾷν οὐ δύνατα ι .

11 93 Μωρότερος Κορύβου : καὶ οὗτος ἀρχαῖος μωρός. Μωμήσεται μᾶλλον ἢ μιμήσεται : ἐπὶ τῶν ἀπαιδεύτων, καὶ ὅτι τὸ ψέγειν τοῦ μιμεῖσθαι ῥᾴτερον.

11 95t Ἀρχὴ τοῦ ν στοιχείου. Τὸ ν μετὰ τοῦ α. Ναῦς ἱκετεύει πέτραν : ἐπὶ τῶν σφόδρα ἀναισθήτων καὶ ἀδυσωπήτων, ὡς τό· Ἀνδριάντι πρεσβεύσωμε ν .

11 96 Ναῦς δὲ παλαιὰ πόντῳ οὐχὶ πλωΐμη : ἐπὶ τῶν μηδὲν συντελούντων. Νάνος ὢν ὕπεικε : ἐπὶ τῶν μικρῶν· οὕτω Νεοκλείδης καὶ Ἀριστοτέλης· ὁ δὲ Θεόφραστος ὡς νάνον καὶ αἰδοῖον ἔχοντα μέγα.

11 97 οἱ γοῦν νάνοι μέγα αἰδοῖον ἔχουσιν. Τὸ ν μετὰ τοῦ ε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 98 Νέα χελιδών : ἐπὶ τῶν ἐξαπατώντων τινάς. Νεοκλείδου κλεπτίστερος : οὗτος τυφλὸς ὢν τοὺς βλέποντας ὑπερηκόντιζε.

11 100 Νεκρῷ μῦθον εἰς οὖς ἔλεγεν : ἐπὶ τοῦ μὴ ἐπαΐοντος. καὶ ἐπὶ τῶν ἀναισθήτων. Νέους φίλους ποιῶ ν , λῷστ ε , τῶν παλαιῶν μὴ ἐπιλανθάνο υ .

12 2 Νεκρὸν Ἀφροδίτη Διονύσου δίχα καὶ Δήμητρο ς . Νεκρὸν μυρίζεις : ἐπὶ τῶν ἀδυνάτων.

12 4 Νεκρὸς κεῖται βδέων : ἐπὶ τῶν ἀπόρων, εὐπορεῖν δὲ προσποιουμένων. Νεφέλας ξαίνεις : ἐπὶ τῶν ἀδυνάτων.

12 6 Νέμεσις δέ γε παρὰ πόδας βαίνει : παρόσον μέτεισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας. Νεοττοῦ οὐδέν μοι δίδως : ἐπὶ τῶν ἀμεταδότων· νεοττὸς γὰρ λέγεται ἡ τοῦ ᾠοῦ λέκιθος καὶ τὸ πυῤῥόν· οὕτω Μένανδρος καὶ Κλέαρχος.

12 7 ὃ διαδίδοται ἀρχῇ ὑπὸ τὸν ὑμένα λευκόν· ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ· διεψεύσθησαν γὰρ οἱ πρώτως τοῦτο φήσαντες· καί ἐστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος. ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ Χρύσιππος ἐν τῷ περὶ χρησμῶν. ὄναρ γάρ τινά φασι θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ κρέμασθαι ᾠά, προσαναθέσθαι ὀνειροκρίτῃ· τὸν δὲ εἰπεῖν, ὀρύττων θησαυρὸν εὑρήσεις κατὰ τὸν τόπον ἐκεῖνον. εὑρόντα δὲ σταμνίον, ἐν ᾧ ἀργύριον ἦν καὶ χρυσίον, ἐνεγκεῖν τι τοῦ ἀργυρίου τῷ μάντει. τὸν δὲ μάντιν εἰπεῖν, Τοῦ δὲ νεοττοῦ οὐδέν μοι δίδω ς ; καὶ Δίφιλος κέχρηται· ᾠὸν δ ’ ἐν αὐτῇ διέτρεφε νεόττι α . Τὸ ν μετὰ τοῦ η. [15]

12 8 Νήϊα καὶ κωπέας ἄν θ ’ ὅπλων ἠλλάξαντο : ἐπὶ τῶν μὴ τηρούντων τὰς ἑαυτῶν τέχνας δόξης ἐπιθυμίᾳ. νήϊα δὲ λέγονται τὰ τῆς νηὸς σχοινία, κωπέαι δὲ τὰ πρὸς κώπας ἐπιτήδεια ξύλα. Νηφάλια ξύλα : τὰ μὴ ἀμπέλινα μηδὲ σύκινα μηδὲ μύρσινα· ἐκεῖνα γὰρ οἰνόσπονδα λέγεται.

12 10 Νὴ τὼ Σι ὼ , τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι , οὔ τ ’ ἔστιν οὔτε μή ποτε γένοιτο : Λάκων εἶπε, μεγαλυνομένου τινὸς ῥήτορος ἐπὶ ῥητορικῇ. Τὸ ν μετὰ τοῦ ι.

12 11 Νιόβης πάθη : ἐπὶ τῶν μέγιστα παθόντων κακά ⋮ Αὕτη γὰρ ζῶσα λίθος ἐγένετο ἐπὶ τῷ τύμβῳ τῶν παίδων· ὅστις δὲ πείθεται ἐκ λίθου γενέσθαι ἄνθρωπον ἢ ἐξ ἀνθρώπων λίθον, εὐήθης ἐστί. τὸ δ’ ἀληθὲς ἔχει ὧδε· Νιόβη ἀποθανόντων τῶν ἑαυτῆς παίδων ποιήσασα ἑαυτῇ εἰκόνα λιθίνην, ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων. καὶ ἡμεῖς ἐθεασάμεθα αὐτὴν, οἵα καὶ λέγεται. Τὸ ν μετὰ τοῦ ο. [5]

12 12 Νοῦς οὐ παρὰ Κενταύροις : ἐπὶ τῶν ἐπιλησμόνων καὶ πλεονεκτῶν· παρόσον ὑπὸ πλεονεξίας ἀπώλοντο. Νοῦς ὁρᾷ , καὶ νοῦς ἀκούει : ὁ γὰρ νοῦς κρείσσων πασῶν δυνάμεων τῶν τε ψυχῆς τῶν τε σώματος.

12 14 Νοῦν τὸν ξένον : ἐπὶ τῶν ὑφορωμένων τινάς. Τὸ ν μετὰ τοῦ υ.

12 15 Νυμφίου βίον ὑμεῖς ζῆτε : ἐπὶ τῶν εὐτυχῶς ζώντων· οἱ γὰρ γαμοῦντες ἐστεφανοῦντο σισύμβροις καὶ φυτοῖς τισι πρὸς τὰς τῶν γάμων ἡμέρας. Νῦν εἰς χώραν ἦλθες : ἐπὶ τῶν ὅπου ἀπηρνοῦντο μὴ ἐλθεῖν ἐλθόντων.

12 17 Νῦν ὀσπρίων ἄμητος : ἐπὶ τῶν καθ’ ὥραν πραττόντων πάντα. Νῦν θεοὶ μάκαρες : ἐπὶ τῶν ἀξίως τιμωρουμένων, ἐφ’ οἷς ἔπραξαν.

12 19 Νῦν γένοιτο τὸ σωθῆναι : ἀετὸς χελώνην ἁρπάσας ἠβούλετο ἀφ’ ὕψους καταβαλεῖν· ἡ δὲ, νῦν γένοιτ ο , φησί, τὸ σωθῆναι · τοῦ δὲ λοιποῦ αὐτῇ μελήσε ι . Νῦν ἄμμε ς , πρόσ θ ’ ἄλλοι ἐθάλεο ν , αὐτίκα δ ’ ἄλλοι , Ὧν ἄμμες γενεὴν οὐκέ τ ’ ἐποψόμεθα : ἐξ ἀποφθέγματος γενναίου Λακωνικοῦ.

12 21t Τὸ ν μετὰ τοῦ ω. Νῷ πείθου : ὁμοία τῇ· Τῷ θεῷ ἕπο υ .

12 22t

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρχὴ τοῦ ξ στοιχείου. Τὸ ξ μετὰ τοῦ ε. Ξένος ἔλθοι ὅστις ὀνήσει : Θετταλῶν καταστρέψας πόλεις ὁ Φίλιππος καὶ τοὺς ξένους πωλήσας, εἴρηκε τοῦτο.

12 23t Τὸ ξ μετὰ τοῦ υ. Ξυρεῖ ἐν χρῷ : ἐπὶ τῶν ποιούντων τι εἴς τινα λίαν ἐπίπονον.

12 24 Ξυρὸς εἰς ἀκόνην : ἐπὶ τῶν προσηκόντων τισίν. ἢ ἐπὶ τῶν ὧν βούλονται τυγχανόντων. Ὁμοία τῇ· Ὄνος εἰς ἄχυρ α . Ξύλον ἀγκύλον οὐδέπο τ ’ ὀρθόν : ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθὰ ἀπεργάσασθαι.

12 26 Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὀδύρεται : ἀντὶ τοῦ, θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν. Ξύμβολος ἀγαθὸς ἢ καὶ φαῦλος : ἐπὶ τῶν οἰωνιζομένων διὰ ξυμβόλων.

12 27 ξυμβόλους δὲ ἐκάλουν τοὺς διὰ τῶν πταρμῶν οἰωνισμούς. ἀνετίθεντο δ’ οὗτοι Δήμητρι. καὶ ξύμβολον ὄρτωσιν φασίν, ἐπειδὴ ξυμβόλους ἥγουν σημεῖα ἐποίουν τοὺς πρῶτα συναντῶντας. Ξυνὸς Ἐνυάλιος καὶ τὸν κτανέοντα κατέκτα : ἐπὶ τῶν ἐπ’ ἴσης κινδυνευόντων. [5]

12 29 Ξυγγνώμη πρωτοπείρῳ : ἐπὶ τῶν ἐν πρώτοις τι διαμαρτανόντων. Ἀρχὴ τοῦ ο στοιχείου.

12 30t Τὸ ο μετὰ τοῦ δ. Ὁ Διὸς Κόρινθος : ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕστερον δὲ οὐ καλῶς ἀπαλλαξάντων.

12 31 Ὁδὸν ὀρθὴν βαδίζει : ἐπὶ τῶν ὀρθῶς καὶ ἴσως βιούντων. Ὁ Ἥλιος τὸν οὐκ ἀετιδέα : λείπει τὸ ἐλέγχει.

12 32 Ἐπὶ δοκιμῆς. Ὁ δύο πτῶκας διώκων οὐδέτερον καταλαμβάνει : αὕτη δημώδης καὶ δήλη.

12 34 Ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς : ἐπὶ τῶν καταλιμπανόντων τὰ δῆλα καὶ ζητούντων τὰ ἀφανῆ. Τὸ ο μετὰ τοῦ ε.

12 35 Ὁ ἔχων ἵππου χρήματα ταχύτατα ἱππεύει : καὶ αὕτη δημώδης. Ὁ ἔχων πολὺ πέπερι τίθησι κἀν λαχάνοις : ἐπὶ τῶν εὐπόρως καὶ ἀφθόνως βιούντων.

12 37t Τὸ ο μετὰ τοῦ ι. Οἴκοι τὰ Μιλήσια · μὴ γὰρ ἐνθάδε : ἐπὶ τῶν ὅπου μὴ προσήκει τὴν τρυφὴν ἐπιδεικνυμένων.

12 37 Μιλήσιος γὰρ παρὰ Λακεδαιμονίοις δημηγορῶν καὶ τὴν οἴκοι τρυφὴν ἐπαινῶν ἤκουσε ταῦτα. Οἴκοι γενοίμην : ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.

12 39 Οἶκος φίλος οἶκος ἄριστο ς . Οἴκοθεν ὁ μάρτυς : ἐπὶ τῶν καθ’ ἑαυτῶν φερόντων μάρτυρας.

12 41 Οἱ Κρῆτες τὴν θυσίαν : ἐπὶ τῶν ταρασσόντων τοὺς θύοντας καὶ περικοπτόντων· τοιοῦτον γάρ τι συνέβη τῷ Ἀγαμέμνονι παρὰ τῶν Κρητῶν θύοντι. Οἰταῖος δαίμων : ὃς ὕβριν καὶ περιφάνειαν ἐμίσησεν.

12 43 Οἱ φιλομεμφέες εἰς φιλίην οὐκ εὐφυέες : Δημοκράτους. Οἶδα Σίμωνα καὶ Σίμων ἐμέ : δύο ἐγένοντο ἡγεμόνες, Νίκων καὶ Σίμων.

12 44 ὑπερίσχυσε δὲ ὁ Σίμων κακοτροπώτατος ὤν, ὥστε καὶ τὴν ἐπὶ Νίκωνα φήμην ἀπαλεῖψαι. λεχθείη δ’ ἂν ἡ παροιμία ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόντων. Οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμον α . [5]

12 46 Οἱ φῶρες τὴν βοήν : ἤτοι δεδοίκασιν. Οἱ φῶρες προσεγκαλοῦσι ν .

12 48 Ὄϊς τὴν μάχαιραν : ἐπὶ τῶν ἀλυσιτελῶς σφισιν αὐτοῖς χρωμένων. Οἶνος καὶ παῖδες ἀληθεῖς : ἐπὶ τῶν ἁπλοιζομένων καὶ τὴν ἀλήθειαν λεγόντων.

12 49 Εὔανδρος παρὰ τοῖς Πέρσαις φησὶν οὐ βασάνοις ἐξετάζεσθαι, ἀλλὰ μεθυσκομένους. Οἰναῖοι τὴν χαράδραν : ἐπὶ τῶν ἐπ’ ὠφελείᾳ παρακαλουμένων, βλαπτόντων δέ.

12 50 τῶν γὰρ Οἰναίων παροχετευόντων τὴν χαράδραν, ἐπιῤῥαγὲν ὕδωρ πολὺ κατέκλυσε πάντας. Οἱ Ἴωνες ἐλεύθεροι μὲν κακοί · δοῦλοι δὲ ἀγαθοί : ὅτι χρὴ τοὺς ὑπὸ χεῖρα μὴ ἐλευθεροῦν θρασεῖς ὄντας καὶ μᾶλλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

12 52 Οἵῳ με ὁ δαίμων τέρατι συγκαθεῖρξεν : ἐπὶ τῶν δυσανασχετόντων· ἐπὶ τοῦ Κύκλωπος καὶ τοῦ Ὀδυσσέως. Οἶος πέπνυται · τοὶ δὲ σκιαὶ ἀΐσσουσιν : ἐπὶ τῶν ἄγαν φρονίμων λέγεται.

12 54t Τὸ ο μετὰ τοῦ κ. Ὁ κνὶξ ἐν χώρᾳ : ἐπὶ τῶν ταχέως μεταπιπτόντων· κνὶξ γὰρ θηρίον ξυλοφάγον.

12 55 Ὀκνὲ κυάμους κατάβρεξον · εἰ φάγοις ὠμοὺς οὐδέποτε ἐπιλάθοιο : ἐπὶ τῶν πάνυ ῥᾳθύμων. Ὃ κἀργύρου ᾖ πάντα θεῖ κἀλαύνεται : ὅ ἐστιν οὔτε ἀνέμοις οὔτε κώπαις πλέομεν.

12 57 Ὁ Κρὴς δὴ τὸν πόντον : ἐπὶ τῶν εἰδότων μὲν, προσποιουμένων δὲ ἀγνοεῖν, ἀντὶ τοῦ ὁ νησιώτης ἀγνοεῖ τὴν θάλασσαν. Ὁ κόσμος σκην ή , ὁ βίος πάροδος· ἦλθες, εἶδες, ἀπῆλθες.

12 59 Ὁ Καρπάθιος τὸν λαγών : ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων. οἱ γὰρ Καρπάθιοι νῆσον οἰκοῦντες καὶ λαγωοὺς οὐκ ἔχοντες, ἐπηγάγοντο· οἳ πολλοὶ γενόμενοι ἐλυμαίνοντο τοὺς καρπούς. Ὁ καλῶς ἄγων ἐμποιεῖ τὸ καλῶς ἕπεσθαι : ἐπὶ τῶν ἐπισταμένων ἄρχειν.

12 61 Ὁ Κρὴς τὸν Κρῆτα : ἐπὶ τῶν ὁμοιοτρόπων. Ὁ Κλεομένης τῆς κοίτης ὑπερέχει : ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων.

12 63t Τὸ ο μετὰ τοῦ λ. Ὅλῳ ποδί : ἐπὶ τῶν ταχέως ποιούντων.

12 63 ὁμοία τῇ· Ὅλῳ ῥυτῆρ ι . Ὀλύμπου φανεῖται παντὸς ἐπαχθέστερος : δήλη.

12 65 Ὀλέθρου πείρα τ ’ ἐφῆπται : ἐπιδέδεται καὶ ηὐτρέπισται τοῦτο ὀλέθρου ἡμῶν πέρας. Ὁ λύκος τὴν τρίχα οὐ τὴν γνώμην ἀλλάττε ι .

12 67t Τὸ ο μετὰ τοῦ μ. Ὁμολώϊος Ζεὺς : ἐπὶ τῶν ὁμονοούντων, ἀπὸ Ὁμολώας προφήτιδος, τῆς Ἐνυέως· ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι, ὡς Ἀριστοφάνης.

12 67 Ἴστρος δὲ ἐν τῇ δωδεκάτῃ τῆς συναγωγῆς, διὰ τὸ παρ’ Αἰολεῦσι τὸ ὁμονοητικὸν καὶ εἰρηνικὸν ὅμολον λέγεσθαι. ἔστι δὲ καὶ Δημήτηρ Ὁμολωΐα ἐν Θήβαις. Ὅμοιος ὁμοίῳ : δηλονότι συναγορεύει· ἢ φαῦλος φαύλῳ, ἢ ἀμαθὴς ἀμαθεῖ. [5]

12 69 Ὄμπνιος χείρ : ἡ πλουσία. Ὄμπνιον νέφος : τὸ μέγα καὶ πολὺ ηὐξημένον.

12 71 Ὁ μὲν λόγος θαυμαστὸς , ὁ δὲ λέγων ἄπιστος : ἐπὶ τῶν ἐπαγγελλομένων μείζω ἢ δύνανται. Ὁ μὲν Ἑκατερὸς ἀμφότερος · ὁ δὲ Ἀμφοτερὸς οὐδέτερος : τούτοιν ὁ μὲν εἷς ἦν ἔμφρων καὶ πρακτικὸς ὁ Ἑκατερός· ἅτερος δὲ εὐήθης καὶ ἀβέλτερος ὁ Ἀμφοτερός· τούτω ἰδὼν ὁ Φίλιππος εἴρηκε τὴν παροιμίαν.

12 73 Ὁμοιότερος σύκου : τοῦτο παραπαίζει διὰ τὴν ἐμφέρειαν τῶν σύκων. Ὀμφάλῃ Ἡρακλῆς λατρεύει : ἐπὶ τῶν ἀπίστων ⁝ Λόγος ἦν μάταιος, ὅτι ὁ Ἡρακλῆς ἐλάτρευε τῇ Ὀμφάλῃ, καίτοι γε ἐξὸν Ἡρακλεῖ κἀκείνης καὶ τῶν ὑπαρχόντων αὐτῇ δεσπόζειν.

12 74 τὸ δ’ ἀληθὲς τοιόνδε τι· Ὀμφάλη ἦν Ἰορδάνου θυγάτηρ Λυδῶν βασιλέως· αὕτη ἀκούσασα τὴν ἰσχὺν Ἡρακλέους προσεποιήθη ἐρᾷν αὐτοῦ Ἡρακλῆς πλησιάσας ἔρωτι ἑάλω αὐτῆς. γεννᾷ δὲ ἐξ αὐτῆς υἱὸν Λαομήδην· ἡδόμενος δ’ αὐτῇ ἐποίει ὅ τι προστάττει ἡ Ὀμφάλη· οἱ δὲ εὐήθεις ὑπέλαβον λατρεύειν αὐτὸν αὐτῇ. Τὸ ο μετὰ τοῦ ν. [5]

12 75 Ὄνος ἄγει μυστήρια : ἐπὶ τῶν παρ’ ἀξίαν τι πραττόντων· τοῖς γὰρ μυστηρίοις ἐξ ἄστεος εἰς Ἐλευσῖνα διὰ τῶν ὄνων ἔφερον τὰ εἰς χρείαν· ὅθεν καὶ ἡ παροιμία, διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας. ὡς ἂν οὖν ὅμοια πάσχων τῷ πιέζεσθαι τῷ ὑποκειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν ὁ Ἀριστοφάνης. Ὃν ἡ τύχη μέλανα γράψε ι , τοῦτον ὁ πᾶς χρόνος οὐ δύναται λευκᾶναι : ἐπὶ τῶν δυστυχῶν ἄγαν. [5]

12 77 Ὃν οὐ τύπτει λόγος οὐδὲ ῥάβδος : ἐπὶ τῶν μὴ πειθομένων τοῖς εἰσηγουμένοις τὰ βέλτιστα. Ὄνος εἰς ἄχυρα : ἐπὶ τῶν παρ’ ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων καὶ τούτοις ἀπολαυστικῶς χρωμένων.

12 79

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὄνου κεφαλὴν μὴ πλύνειν νίτρῳ : ἐπὶ τῶν ἀνάρμοστα ποιούντων. Ὄνος ἐν μελίτταις : ἐπὶ τῶν κακοῖς περιπεσόντων.

12 81 Ὄνῳ τις ἔλεγε μῦθον , ὁ δὲ τὰ ὦτα ἐκίνει : εἰς ἀναισθησίαν τινῶν. Ὄνος λύρας · ἀκούων κινεῖ τὰ ὦτα : ἐπὶ τῶν ἀπαιδεύτων· ἢ ἐπὶ τῶν συγκαταθεμένων μηδὲ ἐπαινούντων ⋮ Πέπυσμαι ὄνους ἀγρίους οὐκ ἐλάττονας ἵππων τὰ μεγέθη ἐν Ἰνδοῖς γίνεσθαι· κέρας δὲ ἔχειν ἐπὶ τῷ μετώπῳ, ὅσον πήχεως τὸ μέγεθος καὶ ἡμίσεος προσέτι, καὶ τὸ μὲν κάτω μέρος τοῦ κέρατος εἶναι λευκόν, τὸ δὲ ἄνω φοινικοῦν, τό γε μὴν μέσον μέλαν δεινῶς.

12 82 εἰσὶ δὲ ὤκιστοι. καὶ διώκειν ἐκείνους, τοῦτο δὴ τὸ ποιητικόν, μεταθεῖν τὰ ἀκίχητα ἐστίν ⋮ Ὁ δὲ ἰχθὺς ὁ ὄνος τὰ μὲν ἄλλα ὅσα ἐντὸς προσπέφυκεν, οὐ πάντη τῶν ἑτέρων διεστηκότα κέκτηται, μονότροπος δέ ἐστι καὶ σὺν ἄλλοις βιοῦν οὐκ ἀνέχεται. Ὄνος ἀκροᾶται σάλπιγγος : ὁμοία τῇ προτέρᾳ.

12 84 Ὄνος εἰς Κυμαίαν : ἐπὶ τῶν παραδόξων καὶ σπανίων. Ὄνος ὕεται : ἐπὶ τῶν μὴ ἐπιστρεφομένων.

12 86 Ὄνου θανάτους : ἐπὶ τῶν ἀλλόκοτα διηγουμένων. Ὄνου παρακύψεως : ὄνου παρακύψαντος ὄρνιθες πτοηθεῖσαι ἱστὸν ἀνέῤῥηξαν· ὁ δὲ δεσπότης τοῦ ἱστοῦ τῷ τοῦ ὄνου δεσπότῃ ἐνεκάλεσεν.

12 88 Ὄναρ λέγεις ἢ γρίφον : ἐπὶ τῶν αἰνιγματωδῶς λεγόντων τινά. Διαφέρει δὲ γρίφον αἰνίγματος, ὅτι τὸ μὲν αἴνιγμα ὁμολογεῖ τις ἀγνοεῖν, τὸ δὲ γρίφον ἀγνοεῖ δοκῶν ἐπίστασθαι· οἷον αἴνιγμα μέν ἐστι τό· ἀδελφὲ ἐμὲ καὶ ὑιὲ τῆς ἐμῆς γυναικὸς ἄπελθε καὶ εἰπὲ τῷ ἐμῷ καὶ σῷ πατρὶ, ἦλθεν ὁ ὑιός σου ὁ ἀνὴρ τῆς γυναικός σου· ἐνταῦθα γὰρ ἄδηλον ὂν ὁμολογεῖ τις ἀγνοεῖν τὸ αἴνιγμα. γρίφον δὲ, οἷον· Ἕκτορα τὸν Πριάμου Διομήδης ἔκτανεν ἀνήρ · ἐνταῦθα δοκεῖ μὲν εἰδέναι τὸ ῥηθέ ν , ἀγνοεῖ δ ὲ , ὅτι τῆς Διομήδης γυναικὸς ἦν ἀνὴρ ὁ Ἀχιλλεύς · ἐκείνην γὰρ ἔσχε μετὰ τὴν Βρισηΐδ α . Ὄνου πόκαι : ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται.

12 90 Ὄνου οὐρὰ τηλίαν οὐ ποιεῖ : ἐπὶ τῶν ἀνωφελῶν. Ὄνου γνάθος : εἰς πολυφάγον.

12 92 Ὄνου σκιά : ἐπὶ τῶν μὴ ἐχόντων πλούσια καὶ λαμπρὰ, καὶ ἀρκουμένων ἐξ ἀνάγκης τοῖς μικροῖς τε καὶ εὐτελέσιν. ἢ ἐπὶ τῶν ἕνεκεν εὐτελεστάτου τινος ἐριζόντων. εἰς Μέγαρα ἀπιών τις ἐμισθώσατο ὄνον· τοῦτον καῦμα κατέλαβε καὶ ὑπὸ τὴν σκιὰν τοῦ ὄνου ἀναπαύεσθαι δέον ᾠήθη· οὐ παρῆν γὰρ οὔτε δένδρον οὔτ’ ἄλλο τοιοῦτον οὐδέν. τὸν δὲ ὀνηλάτην κωλύειν φάσκοντα, ὄνον αὐτῷ μεμισθωκέναι μόνον οὐ μὴν καὶ σκιάν. ὥστε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι. Τὸ ο μετὰ τοῦ π.

12 93 Ὁ παῖς τὸν κρύσταλον : ἐπὶ τῶν μήτε κατέχειν δυναμένων, μήτε μεθεῖναι βουλομένων. Ὄπισθεν κεφαλῆς ὄμμα τ ’ ἔχει : ἐπὶ τῶν πανούργων.

12 95 Ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ , προσραπτέον τὴν ἀλωπεκῆν : ὅτι δεῖ ποιεῖν ἕκαστον κατὰ δύναμιν. Ὅπου αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσιν : ἐπὶ τῶν ἐργώδεις τὰς διατριβὰς ποιουμένων· αἱ γὰρ ἔλαφοι ἐν δυσβάτοις καὶ τραχέσι τόποις τὰ κέρατα ἀποβάλλουσιν.

12 97 Ὁ πηλὸς ἢν μὴ δαρῇ κέραμος οὐ γίνεται : ὅτι ἐκ τῶν πόνων καὶ παθημάτων οἱ ἄνθρωποι τελειότεροι γίνονται. Τὸ ο μετὰ τοῦ ρ.

12 98 Ὅρκοις ἄνδρα ς , ἀστραγάλοις δὲ παῖδας ἐξαπατῶσι ν . Ὀρέστης ἐν ὄρεσι διαιτώμενος : ἐπὶ τῶν λωποδυτούντων.

12 99 οὗτος ὁ Ὀρέστης προσποιούμενος μανίαν τοὺς παριόντας ἀπέδυεν· ἦν γὰρ λωποδύτης· ἢ κατὰ προσωνυμίαν ἀντὶ τοῦ, μαινόμενος ὡς Ὀρέστης. Ὄρνις ζητεῖς , ἀνέμους θηρεύσεις : ἐπὶ τῶν μάτην κοπιόντων.

13 1 Ὄρτηξ ἔσωσεν Ἡρακλῆ : ἐπὶ τῶν παρ’ ὧν οὐκ ἤλπισαν σωζομένων. Ὄρος ὄρει οὐ μίγνυται , ἄνθρωπος δ ’ ἀνθρώπῳ : ἐπὶ τῶν ἀσυμπαθῶς πρός τινας διακειμένων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 3t Τὸ ο μετὰ τοῦ ς. Ὀστράκου μεταστροφή : ἐπὶ τῶν ῥαδίως εἰς φυγὴν ὡρμημένων· καὶ Πλάτων· Ὀστράκου μεταπεσόντος ἵεται φυγῇ μεταβαλώ ν .

13 3 Ἄλλοι δὲ ἐπὶ τῶν ἐκ κρειττόνων εἰς τουναντίον μεταπεσόντων· ἐκ μεταφορᾶς τῶν κυβευόντων· ὀστρακίνοις γὰρ τὸ πάλαι χρώμενοι βώλοις, τῇ μεταβολῇ τούτων πολλάκις ἡττῶντο ἢ ἐνίκων. Ὀστοῦν ἔνεστι τῷ λόγῳ : Ἐμπεδοκλῆς εἶπεν, αἰνιττόμενος τὸ τί ἦν εἶναι καὶ τὴν οὐσίαν τοῦ πράγματος.

13 5 Ὃς αὐτὸς αὑτὸν οὐκ ἔχει , Σάμον θέλει : ἐπὶ τῶν τὰ οἰκεῖα μὴ δυναμένων σῶσαι, ἄλλα δὲ ζητούντων· Λακεδαιμόνιοι γὰρ Ἀθηναίων ἀξιούντων, ὅτε παρέδωκαν τὸ ἄστυ, Σάμον αὐτοῖς μόνην ἐᾶσαι, εἶπον, ὅταν αὑτῶν οὐκ ἦτε, τότε καὶ ἄλλους ἔχειν ζητεῖτε. Ὁ Σικελὸς τὴν θάλασσαν : Σικελός τις σῦκα ἄγων ἐναυάγησεν· εἶθ’ ὁρῶν τὴν θάλασσαν ἀγριουμένην ἐπὶ πέτρας καθήμενος, οἶδ α , φησίν, ὃ θέλεις · σῦκα θέλει ς .

13 6 Ἀλκμὰν δὲ ὁ λυρικὸς μέμνηται τῆς παροιμίας. Ὁ Σκύθης ἵππον : ἐπὶ τῶν κρύφα τινὸς ἐφιεμένων, φανερῶς δὲ ἀποπτυόντων αὐτό· διὸ καὶ Πίνδαρος· Ἀτυζόμενοι Σκύθαι νεκρὸν ἵππον λόγ ῳ , κρύφα δὲ σκολιοῖς γάννυσι ν , ἀναδέρουσι πόδα ς .

13 8 Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται, ἐκείνου ἐστὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ. Ὃς δὲ Κόρινθον ἔναι ε , χόλου κρατέειν Περίανδρο ς .

13 10 Ὅστις κύνα τρέφει ξένον , τούτῳ μόνον λῖνος μένει : ἐπὶ τῶν ματαίως πονούντων περὶ ἐκεῖνα, οἷς οὐ μόνον κερδανοῦσιν, ἀλλὰ καὶ ἀπολέσουσιν. Τὸ ο μετὰ τοῦ τ.

13 11 Ὁ Ταντάλου λίθος ὑπὲρ κεφαλῆς ταλαντεύεται : ἀντὶ τοῦ φόβος ἡμᾶς ἔχει διηνεκής. Ὅταν φακῆν ἕψητε , μὴ ἐπιχεῖν μύρον : Στράττις ἔφησε σκώπτων τὸν Εὐριπίδην.

13 12 ἐπὶ τῶν φιληδόνων. Ὅταν Νίβας κοκκύσῃ , τό θ ’ ἕξεις πλοῦτον : ἐπὶ τῶν ἀδυνάτων ⁝ Θεσσαλονίκῃ τῇ Μακεδονίτιδι χῶρός ἐστι γειτνιῶν καὶ καλεῖται Νίβας· οὐκοῦν οἱ ἐνταῦθα ἀλεκτρυόνες ᾠδῆς τῆς συμφυοῦς ἀμοιροῦσι καὶ σιωπῶσι πάντῃ πάντως.

13 13 καὶ διαῤῥεῖ λόγος παροιμιώδης ἐπὶ τῶν ἀδυνάτων, ὃς λέγει, τότε ἂν ἔχητε τόδε τὶ, ὅταν Νίβας κοκκύσῃ. Τὸ ο μετὰ τοῦ υ.

13 14 Οὐ δ ’ ἀπὸ γῆς ὤνησεν : ἐπὶ τοῦ ἐλαχίστου. Οὐ δ ’ ἂν Ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν : ἐθρυλλεῖτο ὁ Ἐξηκεστίδης ὡς πᾶσαν ὁδὸν γινώσκων διὰ τὴν χρόνιον πλάνην.

13 16 Οὐ δεῖ μιμεῖσθαι τὸν Πασιφάης τρόπον : παρόσον οὐ δεῖ τὰς γυναῖκας ἐξοκίλλειν εἰς ἀλλοκότους ἔρωτας ⁝ Μυθεύετα ι , ὅτι ἠράσθη ταύρου νεμομένου ἡ Πασιφάη, Δαίδαλον δὲ ποιῆσαι βοῦν ξυλίνην καὶ ἐγκλεῖσαι τὴν Πασιφάην εἰς αὐτήν· οὕτω τε τὸν ταῦρον ἐπιβάντα μιγῆναι τῇ γυναικί, τὴν δὲ κυῆσαι παῖδα ἔχοντα μὲν σῶμα ἀνδρός, κεφαλὴν δὲ βοός. ἐγὼ δὲ οὔ φημι τοῦτο γενέσθαι. πρῶτον μὲν γὰρ ἀδύνατον ἐρασθῆναι ζῷον ἕτερον ἑτέρου· οὐ γὰρ δυνατὸν κύνα καὶ πίθηκον, λύκον τε καὶ ὕαιναν ἀλλήλοις συμμιγῆναι, οὐδὲ βούβαλον ἐλάφῳ· ἑτερογενῆ γὰρ εἰσί. ταῦρος δὲ οὐ δοκεῖ μοι βοΐ ξυλίνῃ ἀναμιχθῆναι· οὐκ ἂν δὲ ἠνέσχετο καὶ γυνὴ ταύρου ἐπιβαίνοντος, οὐδὲ φέρειν ἠδύνατο γυνὴ ἔμβριον, ἔχοντα κέρατα· τὸ δ’ ἀληθὲς ἔχει οὕτως. Μίνωά φασιν ἀλγοῦντα τὰ αἰδοῖα θεραπευθῆναι ὑπὸ κριδὸς τοῦ Πανδίονος· κατ’ ἐκεῖνον δὲ τὸν τῆς θεραπείας καιρὸν ἠκολούθει τῷ Μίνωϊ νεανίας εὐειδὴς, ὄνομα Ταῦρος, οὗ Πασιφάη ἔρωτι ἁλοῦσα, μίγνυται αὐτῷ καὶ γεννᾷ παῖδα. Μίνως δ’ ἐπιλογισάμενος τὸν φόρτον τῆς ἀλγηδόνος τῶν αἰδοίων καὶ γνοὺς ὡς οὐκ ἔστιν ἐξ αὐτοῦ ὁ παῖς διὰ τὸ μὴ συγκοιμᾶσθαι αὐτὸν τῇ Πασιφάῃ, ἔγνω ὡς ἐκ τοῦ Ταύρου ἐστὶ τὸ κυηθέν· ἀποκτεῖναι μὲν οὐκ ἤθελε τὸν παῖδα διὰ τὸ δοκεῖν ἀδελφὸν εἶναι τῶν ἑαυτοῦ παίδων, ἀποπέμπει δὲ αὐτὸν εἰς ὄρος, ὡς ἐν θεράποντος μοίρᾳ ὑπάρχῃ τοῖς ποιμέσιν· ὁ δὲ οὐχ ὑπετάσσετο τοῖς βουκόλοις. πυθόμενος δὲ ὁ Μίνως τὰ κατ’ αὐτόν, ἐκέλευσεν αὐτὸν παρὰ τῶν πολιτῶν κρατηθῆναι· καὶ εἰ μὴν ἕποιτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λελυμένον ἐλθεῖν, εἰ δὲ μὴ, δέσμιον· αἰσθόμενος δ’ ὁ νεανίας ἀφίσταται εἰς τὰ ὄρη καὶ ἁρπάζων βοσκήματα οὕτω διέζη. πέμψαντος δὲ Μίνωος καὶ ἕτερον ὄχλον πλείονα διὰ τὸ συλλαβεῖν αὐτόν, ὁ νεανίας ὄρυγμα ποιήσας βαθὺ καθεῖρξεν ἑαυτὸν εἰς ἐκεῖνο· ἔνθα ὄντος τοῦ Μινωταύρου, εἴποτε παρὰ τοῦ Μίνωος ἐκρατήθη τις ἀδικῶν, παρὰ τὸν Μινώταυρον ἐπέμπετο, ὡς αὐτὸν τιμωρήσαιτο. λαβὼν οὖν ποτε Μίνως τὸν Θησέα πολέμιον, ἐπὶ τὸν Μινώταυρον ἀπέστειλεν ὡς ἀποθανούμενον· γνοῦσα δὲ τοῦτο ἡ Ἀριάδνη, προεισπέμπει ξίφος τῷ Θησεῖ εἰς τὴν εἱρκτὴν, δι’ οὗ ἀναιρεῖ τὸν Μινώταυρον. Οὐκ ἀσφαλὲς σπουδαῖον χρονίζειν, ἔνθα μή εἰσιν ὅμοιοι. [35]

13 18 Οὐδὲ τὰ τρία Στησιχόρου γινώσκεις : ἐπὶ τῶν ἀπαιδεύτων. Οὔτε πο τ ’ ἀγαθὸς γένοι τ ’ ἂν ποιητὴς παρὰ μέλος ᾄδω ν , οὔ τ ’ ἀστεῖος ἄρχων παρὰ νόμον χαριζόμενος : Θεμιστοκλέους ἀπόφθεγμα.

13 20 Οὐδὲν ἐγγὺς ἱππικοῦ δρόμου : ἐπὶ τῶν τρυφᾶν βουλομένων. Οὐκ ἐμὸν τὸ φύτευμα : Λάκαινα τὸν υἱὸν λειποτακτήσαντα ὡς ἀνάξιον τῆς πατρίδος ἀνεῖλεν εἰποῦσα τοῦτο.

13 21 ἐφ’ ἧς τὸ ἐπίγραμμα τόδε· Ἔῤῥε κακὸν φίτημα διὰ σκότος, οὗ διὰ μῖσος Εὐρώτας δειλαῖς μηδ’ ἐλάφοισι ῥέοι. Ἀχρεῖον σκυλάκευμα, κακὰ μέρις, ἔῤῥε ποτ’ Ἅιδαν, Ἔῤῥ· τὸ μὴ Σπάρτας ἄξιον οὐδ’ ἔτεκον. ὅμοιον τῷ τῆς Δαματρίας ἐπιγράμματι· Τὸν παράβαντα νόμους Δημάτριον ἔκτανε μάτηρ, ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον. Οὐδὲ πυρφόρος : λείπει τὸ ἀπελείφθη. [10]

13 22 ἐπὶ τῶν πανωλεθρίᾳ φθαρέντων. πυρφόρους δὲ ἔλεγον τοὺς ἱερέας, τοὺς ἐπιβώμιον πῦρ ἀνάπτοντας· ἐν τοῖς οὖν πολέμοις εἰώθασι τῶν ἱερέων οἱ νενικηκότες φείδεσθαι. ἐπὶ δὲ τῶν παντελῶς ἡττηθέντων καὶ συμπατηθέντων ἐν τῷ πολέμῳ εἰώθασιν ὑπερβολῇ χρώμενοι οὕτω λέγειν, ὅτι οὕτως ἀπώλοντο, ὥστε οὐδὲ πυρφόρος· ταὐτὸν δὲ εἰπεῖν ἱερεὺς ἀπελείφθη τῷ στρατῷ· οἷον, οὐδὲ ὁ τὸ πῦρ οἴσων εἰς τὴν πόλιν· καθάπερ εἰ ἐλέγομεν, οὐδὲ σκηνοφύλαξ ἤ τις τῶν παραπλησίων. Οὗτος ὁ κύων τεῦτλα οὐ δάκνει : τοῦτ’ εἶπε Διογένης ὁ κυνικὸς πρός τινα μειράκια θρυπτόμενα καὶ κύνα αὐτὸν καλοῦντα. [10]

13 24 Οὐδὲν ἦν τἄλλα πάντα πλὴν χρυσό ς . Οὐ τὸ οὖρον καθαρὸ ν , ἀποκρίνει τὸν ἰατρό ν .

13 26 Οὐ πα ρ ’ ἕνα τᾷ Σπάρτᾳ : εἷς γὰρ ἀποθανὼν, τί βλάβος τῇ πατρίδι; Οὐκ ἐᾷ με καθεύδειν οὐδὲ ῥᾳθυμεῖν τὸ Μιλτιάδου τρόπαιον : ἐπὶ τῶν διὰ μίμησιν τῶν καλῶν ἀποβαλλομένων τὴν ἑαυτῶν κακίαν.

13 27 Θεμιστοκλῆς γὰρ ἔτι μειράκιον ὢν ἐν πότοις ἐκυλινδεῖτο καὶ γυναιξίν· ἐπεὶ δὲ Μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τοὺς βαρβάρους, οὐκέτι ἦν ἐντυχεῖν ἀτακτοῦντι Θεμιστοκλεῖ· πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν ἔλεγε τοῦτο. Οὐ δύνῃ Φωκίωνι φίλῳ χρῆσθαι καὶ κόλακ ι . [5]

13 29 Οὐδὲ Ἡρακλῆς πρὸς δύο : τοὺς γὰρ Μολιονίδας ἔφυγε. Δίων δὲ ἐν δευτέρᾳ τῆς δευτέρας συντάξεως, Ἡρακλέα τὸν Ἰδαῖον δάκτυλον καταδείξαντα Ὀλυμπίᾳ, πρὸς δύο διαπυκτεύσαντα ἡττηθῆναι· οὕτω δ’ ἔσχε τοῦ γένους ὁ Ἡρακλῆς· ἀπὸ Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Δαναὸς, οὗ Ὑπερμνήστρα ἡ μὴ κτείνασα τὸν ὁμόζυγον Λιγγέα, ἧς Ἄβας, οὗ Προῖτος, οὗ Ἀκρίσιος, οὗ Δανάη, ἧς Περσεὺς, οὗ Ἠλεκτρυὼν, οὗ Ἀλκμήνη, ἧς Ἡρακλῆς. Οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέα ς . [5]

13 31 Οὐδεὶς κομήτης ὅστις οὐ περαίνεται : λέγουσι ἀψηνίζεται, ἄλλη βηνιᾷ. Οὐ δ ’ ἴκταρ βαλεῖν ἔχεις : ἐπὶ τῶν παραβαλλομένων τισὶ καὶ μὴ ἐξομοιουμένων μηδὲ βραχύ· ἴκταρ γάρ ἐστι τὸ ἐγγύς· ἄλλοι δέ φασιν αὐτὴν λέγεσθαι ἐπὶ τῶν ἀποτυγχανόντων.

13 32

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ μεταφορᾶς τῶν τοξοτῶν, τῶν οὐχ ὅπως τοῦ σκοποῦ τυγχανόντων, ἀλλ’ οὐδ’ ἐγγὺς βαλλόντων. Οὗτος ὁ καθήμενος ἱσταμένῳ ἔοικεν : ἐπὶ τῶν σπουδαίων καὶ διὰ τὸ σπεύδειν μὴ βουλομένων ἀμερίμνως καθῆσθαι.

13 34 Οὐδὲν ἱερόν : Ἡρακλῆς εἶπεν ᾀδώνιδος ἰδὼν ξόανον. ὡς τῶν εὐεργετησάντων τοὺς ἀνθρώπους μόνων ὀφειλόντων τιμᾶσθαι. ἢ ὅτι οἱ καταφυγόντες εἰς αὐτὸ δοῦλοι ἄδειαν οὐκ εἶχον. λέγεται δὲ ἐπὶ τῶν μηδενὸς ἀξίων, ὥς φησι Κλέανδρος ἐν δευτέρῳ παροιμιῶν. Οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος : ἐπὶ τῶν ἀπράκτων.

13 36 Οὔτε γὰρ πιστεύουσιν ἀπιστεῖν χρεών, οὔτ’ ἀπιστούντων ἔφη βασιλεύειν Νομᾶς. Οὔτε παρὰ νεκροῦ ὁμιλία ν , οὔτε παρὰ φιλαργύρου δεῖ χάριν ἐπιζητεῖν.

13 38 Οὐ μάλα κυκᾷς : ἐπὶ τῶν μηδὲν ὄντων. Οὐ νυκτὶ πλοῆς : ἐπὶ τῶν μὴ ἀκριβῶς τι ποιούντων, ὡς πελαγοδρομούντων διὰ τὰς τῶν ἀστέρων σημειώσεις.

13 40 Οὐ δ ’ ἑπτέτης φράτορας ἔφυσας : ἐπὶ τῶν ἀνοήτων ἢ ἀνάρθρων. Οὐκ ᾦμαν τὰν εὐχὰν ἄλλας μείζονος εὐχᾶς δεῖσθαι : Λακεδαιμόνιος εὐξάμενος ἀπὸ τοῦ Λευκάτα ῥίπτειν ἑαυτὸν ἀνέβη καὶ ὑπέστρεψεν ἰδὼν τὸ ὕψος· ὀνειδιζόμενος δὲ τοῦτ’ εἶπεν.

13 42 Οὐδὲν πρὸς τὸν Διόνυσον : ἐπὶ τῶν μὴ τὰ προσήκοντα τοῖς ὑποκειμένοις φλυαρούντων. Ἐπιγένους τοῦ Σικυωνίου τραγῳδίαν εἰς αὐτὸν ποιήσαντος, ἐπεφώνησάν τινες τοῦτο. ὅθεν ἡ παροιμία. βέλτιον δὲ οὕτως. τὸ πρόσθεν εἰς τὸν Διόνυσον γράφοντες τούτοις ἠγωνίζοντο, ἅπερ καὶ Σατυρικὰ ἐλέγοντο. ὕστερον δὲ καταβάντες εἰς τὸ τραγῳδίας γράφειν, κατὰ μικρὸν εἰς μύθους καὶ ἱστορίας ἐτράπησαν, μήκετι τοῦ θεοῦ μνημονεύοντες· ὅθεν καὶ ἐπεφώνησαν. καὶ Χαμαιλέων ἐν τῷ περὶ Θέσπιδος τὰ παραπλήσια ἱστορεῖ. Θεαίτητος ἐν τῷ περὶ παροιμίας Παράσιόν φησι τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ Κορινθίοις ποιῆσαι Διόνυσον κάλλιστον, τοὺς δὲ ὁρῶντας τά τε τῶν ἀγωνιστῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ Παρασίου Διόνυσον ἐπιφωνεῖν, Τί πρὸς Διόνυσον; Οὐδὲν ἐξ ἀγροῦ λέγεις : ἤγουν οὐδὲν ἄγροικον.

13 44 Οὐκ ἐν δέοντι χρῇ τῷ δέοντι : ἐπὶ τῶν ἀλόγως τι ποιούντων. Οὔ τ ’ ἰχθὺς φωνὴν οὔ τ ’ ἀπαίδευτος ἀρετή ν .

13 46 Οὐκέ τ ’ ἐμὸν τὸν πρᾶγμα · πολλὰ χαιρέτω : παρόσον τῶν ξένων οὐδεὶς φροντίζει. Οὐ δ ’ ἐν σελίνοις : ἐπὶ τῶν μηδὲ τὴν ἀρχὴν ἐφθακότων.

13 47 ἀπὸ τῶν εἰς τοὺς κήπους ἰόντων. ἐπὶ γὰρ τὰ ἄκρα, τοὺς λεγομένους παρακήπους, σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία, οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος· καθάπερ οὐδὲ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν. Οὐ δ ’ αἰδοῦς σοι πέρδικος : δηλονότι ἔνεστιν· ἐπὶ τῶν ἀνάνδρων καὶ μὴ αἰδουμένων ἐν τοῖς πολέμοις ⋮ Οἱ γὰρ πέρδικες τῶν θηλειῶν ἐρῶσι δριμύτατα.

13 48 οὐκοῦν οἱ τρέφοντες τοὺς ἀθλητὰς πέρδικας, ὅταν αὐτοὺς εἰς τὴν μάχην τὴν κατ’ ἀλλήλων ὑποθήγωσι, τὴν θήλειαν ἑκάστῳ παρεστάναι ποιοῦσιν. οὐ γάρ τί που ἡττώμενος φανῆναι ἢ τῇ ἐρωμένῃ ἢ τῇ γαμετῇ ὁ πέρδιξ ὑπομένει· τεθνήξεται δὲ μᾶλλον παιόμενος, ἢ ἀποστραφεὶς ἰδεῖν τολμήσει ταύτην ἀσχημόνως, παρ’ ᾗ βούλεται εὐδοκιμεῖν· ἀκούω δὲ Κρῆτά τινα ἐραστήν, ἀγαθὸν τά τε ἄλλα καὶ τὰ πολέμια, ἔχειν δὲ παιδικὰ μειράκιον ὥρᾳ διαπρεπές. μάχης δὲ γενομένης, καὶ ἀθρόας ὠθουμένης εἰς αὐτὸν τῆς τῶν ἐχθρῶν φάλαγγος, προσπταῖσαι νεκρῷ κειμένῳ, καὶ περιτραπῆναι λέγουσιν αὐτόν. τῶν οὖν τις πολεμίων παίειν ἔμελλε κατὰ τῶν μεταφρένων τὸν ἄνδρα· ὁ δ’ ἐπιστραφεὶς, μηδαμῶς, εἶπεν, αἰσχρὰν καὶ ἀναλκῆ πληγὴν ἐπαγάγῃς, ἀλλὰ κατὰ τῶν στέρνων ἀντίαν παῖσον, ἵνα μή μου δειλίαν ὁ ἐρώμενος καταψηφίσηται καὶ φυλάξηται περιστεῖλαί με νεκρόν. αἰδεσθῆναι μὲν οὖν ἄνθρωπον ὄντα φανῆναι κακὸν, οὔπω θαυμαστόν· πέρδικι δὲ μετεῖναι αἰδοῦς, ὑπέρσεμνον τοῦτο ἐκ τῆς φύσεως τὸ δῶρον. Κλεώνυμος δὲ ὁ ῥίψασπις καὶ ὁ δειλὸς Πείσανδρος οὔτε τὰς πατρίδας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ᾐδοῦντο, οὔτε τὰς γαμετάς, οὔτε τὰ παιδία. Οὐδὲ κύων παύσαι τ ’ ἂν ἅπαξ σκυτοτραγεῖν μαθών : ὅτι τὸ ἔθος σχεδὸν ἀμετάβλητον. [20]

13 50 Οὐδὲν φρονεῖ δίκαιον ἀστυκὸς ἀνήρ : ἐπὶ τῶν ἀδίκων. Οὐ τὸν στρατηγόν , ἀλλὰ τὸν τρώσαντα : Τιμόθεος εἶπε τῶν ῥητόρων προαγόντων τὸν Χάρητα καὶ ἀξιούντων τοιοῦτον εἶναι τὸν Ἀθηναίων στρατηγόν.

13 52 Οὐ δ ’ ὅσον ἀηδόνες ὑπνώσσουσιν : ἐπὶ τῶν ἀγρυπνούντων· παρόσον ἡ ἀηδὼν ἀγρυπνεῖ διὰ τὸν Ἴτυν. μᾶλλον δὲ διὰ δειλίαν ⋮ Ἔστι δ ’ ὅμως ἡ ἀηδὼν φιλόμουσος καὶ φιλόξενος. ἐν γοῦν ταῖς ἐρημίαις ὅταν ᾄδῃ πρὸς ἑαυτὴν ἁπλοῦν τὸ μέλος καὶ ἄνευ κατασκευῆς ᾄδει, ὅταν δὲ ἁλῷ, καὶ τῶν ἀκουόντων μὴ διαμαρτάνῃ, ποικίλα τε ἀναμέλπει καὶ τακερῶς ἑλίττει τὸ μέλος. Οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλα ς ; ἐπὶ τῶν εὐεξαπατήτων. [5]

13 54 Οὐδὲν Ὀρέστης πρὸς ἡμᾶς καὶ Πυλάδης : ἐφ’ ἑταίροιν ἄγαν ἀλλήλω φιλούντοιν· τούτῳ γὰρ ἐπὶ φιλία διαβεβόησθον. ὁμοία τῇ· οὐδὲν πρὸς ἡμᾶς οἱ Μολιονίδα ι . Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς : Δημοσθένους ἐν τῷ περὶ Κτησιφῶντος· παροιμία ἐστὶν ἐλλιπῶς λεγομένη· προσυπακουστέον οὖν ἔξωθεν τῆς ἀγκύρας.

13 56 Οὔτε χθὲς τὸ χρυσίον οὔτε σήμερον τὸ θηρίον ἐξέπληξε τὸν Φαυρίκιον : ἐπὶ τῶν κρειττόνων χρημάτων καὶ γενναιοτάτων. Οὐκ ἔνεστι συκοφάντου δήγματος : ἐπὶ τῶν ἀνηνύτων.

13 57 Λείπει φάρμακον. Οὐκ ἐπαινεθείης , οὐδὲ ἐν περιδείπνοις : ἐπὶ τῶν μηδενὸς ἀξίων· εἰώθασι γὰρ ἐν τοῖς περιδείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, εἰ καὶ φαῦλος ἦν.

13 59 Οὐκ ἂν κινήσῃς οὐδεμίαν ἀσπίδ α , ἀλ λ ’ ἀπὸ σκυτάλλης μόνον καὶ τρίβωνος : ἐπὶ τῶν πειθηνίων. Οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσ θ ’ ὁ πλοῦς : διὰ τὸ τὰς ἑταίρας ὑπὲρ τῶν Ἑλλήνων εὔξασθαί φασιν ἐν τῷ μεγάλῳ πολέμῳ τῇ Ἀφροδίτῃ· ἢ διὰ τὸ δυσείσβολον εἶναι τὸν πλοῦν.

13 60 ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι καὶ τῶν πλουσίων μόνον ὁ πλοῦς. Οὐκ ἔστι πρὸς δαιμόνια φωτὶ μάχεσθαι : ἐπὶ τῶν ἀδυνάτων. [5]

13 62 Οὐχ ὁ τόπος τὸν ἄνδρα , ἀλ λ ’ ὁ ἀνὴρ αὐτὸν ἔντιμον ποιεῖ : ὅτι ἡ ἀρετὴ, ἀλλ’ οὐχ ἡ πατρὶς τὸν γενναῖον τιμᾷ. Οὐκοῦν ἐν ψυχρῷ τούτους ἑψήσωμεν : ἐπὶ τῶν ἀδυνάτων.

13 63 Χαρμίδης γὰρ ὁ Λαρισσαῖος ἀκούσας διηγουμένου τινὸς ἐν ὕδατι ζώσας ἰδεῖν ἐγχέλυας, ἔφησε τουτί. Οὐ δύνασαι Θέτιδος καὶ Γαλατείας ἐρᾶν : ἐπὶ τῶν ἀνόμοια ζητούντων.

13 65 Οὔτε Ῥώμη πεσεῖται Σκηπίονος ἑστῶτος , οὔτε Σκηπίων ζήσει τῆς πόλεως πεσούσης : ἐπὶ τῶν ὑπὲρ πατρίδος ᾑρημένων ἀποθανεῖν. Οὐ τύ ἐσσι Καλλιπίδας ὁ δεικηλίτας : ἐπὶ μίμων καὶ ὑποκριτῶν σοβαρῶν.

13 66 οὕτω γὰρ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι. Καλλιπίδης γὰρ ὁ τῶν τραγῳδοποιῶν ὑποκριτής, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι καὶ σπουδαζόμενος ὑπὸ πάντων, εἰπὼν πρὸς βασιλέα τὸν Ἀγησίλαον, οὐκ ἐπιγινώσκεις μ ε , ὦ βασιλε ῦ ; ἤκουσε παρὰ Ἀγησιλάου τουτί. Οὐκ ἔστι διθύραμβος ἂν ὕδωρ πίνῃ : ὁ γὰρ θεὸς εὑρετὴς οἴνου, ᾧτινι ἑορτάζουσιν. [5]

13 68 Οὐ πατρικὰ αὐλεῖ μέλη : ἐπὶ τῶν οὐχ ὁμοίως τοῖς πατράσι βιούντων. Οὐ φελλίας ὁ ἀγών : οἷον οὐ στεφανίτης, ἀλλὰ χρηματίτης· ἔλεγον δὲ ἐπὶ τῶν ἀργύριον τελούντων.

13 70 Οὐ φροντὶς Ἱπποκλείδῃ : ὁ Τισάνδρου Ἱπποκλείδης μέλλων γαμεῖν Ἀγαρίστην τὴν Κλεισθένους τοῦ Σικυωνίου θυγατέρα τοῦ τυράννου, ἐν αὐτῇ τῇ τῶν γάμων ἡμέρᾳ ἀπωρχήσατο περιττῶς. μεταβουλευσαμένου δὲ τοῦ Κλεισθένους καὶ Μεγακλεῖ τῷ Ἀλκμαίωνος τὴν θυγατέρα δόντος, πρὸς δὲ τὸν Ἱπποκλείδην φανερῶς εἰπόντος, ὅτι ἀπώρχηται τὸν γάμον τῆς Ἀγαρίστης, ὑποτυχὼν ἔφη· οὐ φροντὶς Ἱπποκλείδ η . Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκε ν , ἀλ λ ’ αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχε ι . [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 72 Οὐ παρὰ βωμὸν δεῖ τὰς ἐπινοίας : ὅτι πρὸ τῶν πραγμάτων δεῖ βουλεύεσθαι καὶ μὴ ἐν αὐτοῖς τοῖς πράγμασιν, ὥσπερ καὶ τὰ ἱερὰ προσάγοντες οὐ μετὰ τὸ θῦσαι βουλεύονται. Οὐκ ἂν αὖθις ἀλώπηξ : λείπει τὸ ἁλώσεται· αὕτη γὰρ ἅπαξ διαφυγοῦσα τὰς πάγας οὐδέτερον ἁλίσκεται ⁝ Σὺ μέν μοι λέγεις πανοῦργον εἶναι ζῷον ἀλώπεκα τὴν χερσαίαν· ἄκουε δὲ καὶ τῆς θαλαττίας μηχανάς· ἢ γὰρ οὐ πρόσεισι τῷ ἀγκίστρῳ τὴν ἀρχήν, ἢ καταπίνουσα ἑαυτῆς ἐντὸς μετεκδῦσα ἔτρεψεν οὕτως ἔξω, ὥσπερ οὖν χιτῶνα τὸ σῶμα ἀνελίξασα, καὶ οὕτως ἐξεώσατο τὸ ἄγκιστρον.

13 74 Οὔ θ ’ ὕεται οὔ θ ’ ἡλιοῦται : ἐπὶ τῶν ἀναισθήτων, ἢ ἐπὶ τῶν ἔξω πάσης φροντίδος ἑστώτων. Οὐ πόλεμον ἀγγέλλεις : ἐπὶ τῶν τὰ ἀγαθὰ ἀγγελλόντων.

13 76 Οὔ ποτε ἐκ σκίλλης ῥόδα φύεται οὔ θ ’ ὑάκινθο ς . Οὐ δ ’ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός : ὅτι οἱ τῶν πλειόνων ἐπιθυμοῦντες καὶ ἃ ἔχουσιν ἀποβάλλουσιν.

13 78t Τὸ ο μετὰ τοῦ φ. Ὁ φεύγων μύλον ἄλφιτα φεύγει : ἐπὶ τῶν ἑκουσίως ἀποβαλλομένων τὰ σφίσι πρόσφορα.

13 79 Ὄφις ἢν μὴ φάγῃ ὄφιν δράκων οὐ γενήσετα ι . Ὄφεως ὄμμα : ἐπὶ τῶν ὀξὺ καὶ καταπληκτικὸν ὁρώντων ⁝ Φασὶ τοὺς ὄφεις συνεγνωκότας ἑαυτοῖς, ὅτι τὸν στόμαχον λεπτὸν καὶ μακρὸν ἔχουσιν, ὅμως ὄντες ἀδδηφάγοι καὶ παμφορώτατοι, ὡς Ἀριστοτέλης λέγει, ἀνίστανται ὀρθοὶ καὶ ἐπ’ ἄκρας τὰς οὐρὰς ἑστᾶσι, καὶ ἡ τροφὴ κατολισθαίνει αὐτοῖς εἰς τὸν ὄγκον τοῦ σώματος· ἄποδες δὲ ὄντες εἶτα ἕρπουσιν ὤκιστα· ἤδη δὲ καὶ ἀκοντίων δίκην ἑαυτόν τις μεθίησι, καὶ τό γε ὄνομα ἐξ οὗ δρᾷ ἔχει· κέκληται γὰρ ἀκοντίας.

13 81 Ὁ φαλλὸς τῷ θεῷ : ἐπὶ τῶν ἀπονεμόντων ἐνίοις τὰ εἰκότα καὶ πρόσφορα. Τὸ ο μετὰ τοῦ χ.

13 82 Ὀχλεῖς μάτην με κῦ μ ’ ὅπως : ἐπὶ τῶν ἀναισθήτως ἐχόντων ἡ παροιμία. ὡς γὰρ κῦμα προσκροῦον ἀεὶ παραλίαις πέτραις οὐδὲν ἀνύει, εἰ μὴ μάτην πονεῖ, οὕτως οὐ δ’ αὐτὸς ὀχλῶν μοι ἀνύσεις τι, ὥστε ἃ χρῄζεις ἀκοῦσαι. Τὸ ο μετὰ τοῦ ψ.

13 83 Ὀ ψ ’ ἦλθες , ἀλ λ ’ ἐς Κολωνὸν ἴεσο : ἐπὶ τῶν εἰς τοὺς καιροὺς ὑβριζόντων. Ὄψον ἄριστον πόνος τῷ γηρᾷ : ὅτι δεῖ πονεῖν ἐν νεότητι, ἵνα πρὸς γῆρας ἔχῃ.

13 85t Ἀρχὴ τοῦ π στοιχείου. Τὸ π μετὰ τοῦ α. Πάλαι πο τ ’ ἦσαν ἄλκιμοι Μιλήσιοι : ἐπὶ τῶν πρὶν μὲν εὐπραγούντων, ὕστερον δὲ δυσπραξάντων· τάττεται δὲ καὶ ἐπὶ τῶν πρότερον μὲν χρωμένων τισὶν ὁπωσδήποτε, ὕστερον δὲ μὴ φροντιζόντων αὐτῶν· ὡς ὁ ἐν Ἀριστοφάνει νεὸς μεμήνυκε τῇ γραΐ· ἤτοι πάλαι ποτέ μοι ἄκοντι χρησίμη ὑπῆρχες διὰ τὴν ἔνδειαν, νῦν δ’ οὐκέτι σου φροντίδα ποιοῦμαι.

13 85 ἡ δὲ τῶν Μιλησίων ἱστορία τοιαύτη· πρῶτοι Κᾶρες καὶ Μιλήσιοι μισθοῦ ξυμμαχεῖν ἤρξαντο. καὶ εἴ που πόλεμος ἀνεῤῥήγνυτο, τοὺς ἄνδρας συμμάχους μισθῷ μετεπέμποντο. καὶ πρώτους αὐτοὺς ἁπάντων ταῖς συῤῥαγαῖς τῶν πολεμίων τοῖς πολεμοῦσιν ἀντέταττον· καὶ εἴ τι λυπηρὸν ἐκ τοῦ πολέμου συγκύρσειε, πρώτοις αὐτοῖς ἐγινώσκετο· ὅθεν φασὶ τό· τίω δέ μιν ἐν Καρὸς αἴσ ῃ . τοιοῦτοι μὲν ἦσαν πρὶν οἱ Κᾶρες καὶ οἱ Μιλήσιοι. Ἐπὶ Δαρείου δὲ τοῦ Ὑστάσπεως, ὡς ἱστορεῖ Ἡρόδοτος, παρ’ Ἱστιαίου καὶ Ἀρισταγόρου τῶν Μιλησίων ἀναπεισθέντες οὐ μόνον ἐκστῆναι Περσῶν, ἀλλὰ ἀντάραι πολέμοις, ἄρδην ὑπὸ Περσῶν κατεκόπησαν· καὶ κατεσφάγη ἡ Μίλητος, καὶ οἱ περιλειφθέντες αὐτῶν γυναιξὶν ὁμοῦ καὶ παισὶν ἀχθέντες εἰς τὴν Περσίδα αἰχμάλωτοι περὶ τὴν ἐρύθραν θάλασσαν μετῳκίσθησαν περί τινα πόλιν Περσῶν Ἄμβην τῇ κλήσει· καὶ οὕτως ὕστερον ἡ παροιμία ἐῤῥήθη. Πάντα θεῖν ἐλαύνεται : ἐπὶ τῶν εὐπόρων.

13 87 Παραξοροῦσιν : Ἀριστοφάνης Ταγηνισταῖς. ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι· Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι. Πάντα κάλων σείειν : ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων· παρῆκται δὲ ἀπὸ τῶν ἄρμενα χαλώντων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 89 Πάναβρος Σαρδανάπαλος : ἐπὶ τῶν τρυφώντων καὶ πολυόλβων. Παρὰ τὰ δεινὰ φρονιμώτερος : ὁμοία τῇ· Ἐξ ὧν ἔπαθες ἔμαθε ς .

13 91 Πάντα λίθον κινεῖν : Πολυκράτει τῷ Θηβαίῳ χρησμὸς ἐξέπεσε, πριαμένῳ τόπον ἔνθα Μαρδώνιος ἐσκήνωσεν, ὅτε Πέρσαι ἔφυγον, καὶ εὗρε χρυσόν· οἱ δὲ εἰρῆσθαί φασιν ἀπὸ θηρευόντων. Πᾶν μοι τὸ χρέος κρόμμυα καὶ τὸ τίμημα σκόροδα : ἐλλείπει τὸ εἴῃ.

13 92 ἐπὶ τῶν ὀλίγα ὀφειλόντων καὶ εὐτελῆ. Πάντα ὀκτώ : οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ὑπ’ αὐτοῦ Στησιχορείαις πύλαις λεγομέναις, καὶ τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας καὶ ὀκτὼ βαθμοὺς καὶ ὀκτὼ γωνίας· οἱ δὲ ὅτι Ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας καὶ ὀκτὼ μέρη τὴν πόλιν.

13 94 Πάσῃσι κορυδαλῇσι χρὴ λόφον ἐγγενέσθαι : τοῦ Σιμωνίδου ἐστίν. ἐπὶ τῶν ζηλοτυπούντων καὶ φιλονεικούντων. Παρὰ σφυρὸν παχεῖα μισήτη γυνή : ἐπὶ τῶν ἀνικάνων τῇ μισγητίᾳ.

13 95 Μισγήτη γάρ τίς ἐστι καὶ μισήτη. καὶ ὁ Κρατῖνός που τοῦτ’ ἔφη· μισηται δὲ γυναῖκες ὀλίσβωσι χρήσοντα ι . Πάντες Ἕλληνες ἐπίστανται τὰ καλ ά , χρῶντας δ ’ αὐτοῖς μόνοι Λακεδαιμόνιο ι .

13 97 Πάντ’ ἐντραγὼν τὸν βοῦν εἰς τὴν οὐρὰν ἀπέκαμεν: ἐπὶ τῶν εἰς τὰ τελευταῖα ἀπειρηκότων. Πάντα εἴσω πίπτει : ἐπὶ τῶν μὴ περί τινων πλείστου ἀξίων κατ’ ἀξίαν εἰπόντων· τὸ γὰρ εἴσω πίπτον περιέχεται, καὶ τὸ περιεχόμενον ἅπαν μικρότερον τοῦ περιέχοντος.

13 99 Παρὰ κωφὸν ἀποπαρδεῖν : ἐπὶ τῶν ἀναισθήτων. Πατροκλέους φειδωλότερος : ἐπὶ τῶν πλουσίων μὲν, φειδωλῶν δὲ καὶ σμικροπρεπῶν· οὗτος γὰρ ἐξ ὅτου περιεγένετο πλούσιος, ἢ καὶ ἐγεννήθη, οὐκ ἐλούσατο.

13 100 Ἀριστοφάνης. ἢ ἐπὶ ῥυπώντων καὶ αὐχμηρῶν. Πάτταλος παττάλῳ προσκρούεται : ὅταν τὸ κακὸν ὑπὸ κακοῦ θεραπεύεται.

14 2 Παύσωνος πτωχότερος : οὗτος ζωγράφος ἦν καὶ ἐπὶ πενίᾳ διατεθρύλλητο. Πάντα χρήματα : ἐπὶ τῶν συγκεχυμένων πραγμάτων· ἐλήφθη δὲ ἐκ τοῦ Δημοκρίτου τοῦ φυσικοῦ.

14 4 Παμφίλου νοσφισμός : ἐπὶ τῶν κλεπτόντων· ὁ γὰρ Πάμφιλος δημαγωγὸς ἦν Ἀθηναίοις καὶ ἐνοσφίζετό τινα τῶν δημοσίων χρημάτων· ἐπεὶ οὖν ἔμελλε φωραθήσεσθαι καὶ δώσειν δίκην ὡς κεκλοφὼς τὰ δημόσια, κωμῳδεῖται ὑπὸ τῶν ποιητῶν. εἶχε δὲ οὗτος ὁ Πάμφιλος καί τινα κόλακα παράσιτον Βελονοπώλην καλούμενον, ὃς ἔμελλε συναπολαύσειν τῷ Παμφίλῳ τῶν κακῶν. Πάν θ ’ ὑπὸ μιᾶς Μύκονος : ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων.

14 6 Παναθηναίων κατόπιν : ἐπὶ τῶν βραδυνόντων. Παναθήναια Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως γενομένῳ συνοικισμῷ· πρῶτον ὑπὸ Ἐριχθονίου του Ἡφαίστου καὶ τῆς Ἀθηνᾶς, ὕστερον δὲ ὑπὸ Θησέως τοῦ συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. γίνεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς ἴσθμια οὗ πρεσβύτερος καὶ ἀγένειος καὶ ἀνήρ· τῷ δὲ νικῶντι δίδοται ἆθλον, ἔλαιον ἀμφορεῦσι, καὶ ὁ νικῶν στεφανοῦται ἐλαίᾳ πλεκτῇ. Παρθένοις ἓξ ἐφάμιλλος : ἐπὶ τῶν εὐψύχων καὶ σωφρόνων· τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον, καὶ ἐτίμησαν δὲ τὸν ἀριθμὸν ἕξ.

14 7 πρεσβυτάτη μὲν ἐκαλεῖτο Πρωτογένεια, δευτέρα δὲ Πανδώρα, τρίτη Πρόκρις, τετάρτη Κρέουσα, πέμπτη Ὠρείθεια, ἕκτη Χθονία. τούτων λέγεται Πρωτογένειαν καὶ Πανδώραν δοῦναι αὐτὰς σφαγῆναι ὑπὲρ τῆς χώρας, στρατιᾶς ἐλθούσης ἐκ Βοιωτίας· ἐσφαγιάσθησαν δὲ ἐν τῷ Ὑακίνθῳ καλουμένῳ πάγῳ ὑπὲρ τῆς Σφενδονίων· διὸ καὶ οὕτω καλοῦνται παρθένοι Ὑακινθίδες, καθάπερ μαρτυρεῖ Φανόδημος. Πάτροκλος πρόφασις : ἐπὶ τῶν μὴ δυναμένων διὰ φόβον θρηνεῖν τὰς οἰκείας συμφοράς, ἐξ ἑτέρων δὲ θλίψεων αὐτὰς ἀποκλαίειν.

14 9 Πᾶς δεσπότης δούλῳ μονοσύλλαβον · τὸ δ ’ ἱκετεύειν μακρό ν . Πάθος κόρης ἱππομανοῦς : ἐπὶ τῶν διαφθειρομένων καὶ ἀφόρητα δῆθεν ὑφισταμένων· οὗτος γὰρ τοῦ γένους τῶν Κοδριτῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὢν, ὃς καὶ τελευταῖος ἐβασίλευσε, τὴν θυγατέρα καθεῖρξεν ἐν χωρίῳ τινὶ μεθ’ ἵππου μαινομένου· διὸ λαθραίῳ μίξει τὴν παρθενίαν αὐτῆς ἐλυμήνατο, καὶ ὁ ἵππος τὴν κόρην βίαν ἐποιήσατο· ἀφ’ οὗ Πάριππος καὶ Κόρη ὁ τόπος ἐν ᾧ τὸ πάθος ὑπέστη καλεῖται.

14 11 Πανίδου ψῆφος : ἐπὶ τῶν ἀμαθῶς ψηφιζομένων· ὁ γὰρ Πανίδης Χαλκίδος τῆς ἐπ’ Εὐρίπῳ βασιλεὺς ὢν Ἡσιόδῳ κατὰ Ὁμήρου ἐψηφίσατο. Πάρες τὸν μάντιν : ἔθος ἦν πρὸ τῆς φάλαγγος ὁδεύειν τὸν μάντιν ἐστεμμένον· παρεγγυᾷ οὖν τούτου φείδεσθαι.

14 13 Πατακίωνος συκοφαντικώτερος : οὗτος ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν πολιτῶν τέλος φωραθεὶς ἀνηρτήθη. Τὸ π μετὰ τοῦ ε.

14 14 Πεισάνδρου δειλότερο ς . Πελαργικοὶ νόμοι : καί· Ἀντιπελάργωσις : ἡ διὰ τὸ τρέφειν τοὺς γονεῖς· οὕτως Ἀριστοφάνης.

14 15 ὁ δὲ Ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον ἀληθῆ. ὁμοίως δὲ αὐτοῖς φησι ποιεῖν καὶ τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον, δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοὶ δικαιοπραγεῖς ὄντες, ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς γεγηρακότας. οἱ δὲ ἱπποπόταμοι ζῷα ἀδικώτατα ⁝ Λέγεται περὶ πελαργῶν καὶ τοῦτο· ὅτι τρέφουσι τοὺς πατέρας γεγηρακότας, καὶ αὐτοὶ δὲ τὰ ἑαυτῶν ἔκγονα φιλοῦσιν· ὅταν γὰρ ὁ τέλειος ἐνδεὴς ᾖ τροφὴν ἀπτῆσιν ἔτι καὶ ἁπαλοῖς τοῖς νεοττοῖς ἐν τῇ καλλιᾷ παραθεῖναι, γενομένης αὐτῷ κατὰ τύχην ἀπορίας, ὁ δὲ τὴν ἑαυτοῦ χθιζὴν ἀνεμέσας ἐκείνους τρέφει· καὶ τοὺς ἐρωδιοὺς ἀκούω ταὐτὸν ποιεῖν, καὶ τοὺς πελεκᾶνας μέντοι· οἳ ἐν τοῖς ποταμοῖς κόγχας περιχαίνοντες, εἶτα καταπίνουσιν, ἔνδον δὲ καὶ ἐν μυχῷ τῆς γαστρὸς ὑποθάλψαντες, ἀνεμοῦσι, καὶ τὰ μὲν ὀστράκια ἐκ τῆς ἀλέας διέστη, ὥσπερ οὖν τῶν ἑφθῶν, οἱ δὲ ἐξορύττουσι τὰ κρέα καὶ δεῖπνον ἔχουσιν ⁝ Ἔτι καὶ τοῦτο λέγουσι περὶ αὐτῶν· ὅτι τῶν πελαργῶν οἱ μὲν γηραιοὶ καταμένουσιν ἐν ταῖς νεοττιαῖς ἀδυνατοῦντες ἵπτασθαι, οἱ δὲ τούτων παῖδες ὀλίγῳ δέω φάναι γῆν καὶ θάλατταν ἐπιπετώμενοι, πανταχόθεν ἐκπορίζουσι τοῖς γονεῦσι τὰ ἐπιτήδεια· καὶ οἱ μὲν ἀξίας τῆς ἡλικίας ἠρεμοῦντες ἐν ἀφθονίᾳ διατελοῦσι τῇ πάσῃ τρυφῶντες, οἱ δὲ τὰς εἰς τὸν πορισμὸν κακοπαθείας ἐπελαφριζόμενοι, τῷ εὐσεβεῖν καὶ τῷ προσδοκᾷν ἐν γήρᾳ τὰ αὐτὰ πείσεσθαι ὑπὸ τῶν ἐκγόνων, ἀναγκαῖον ὄφλημα ἀντεκτίνουσιν ἐν καιρῷ, λαβόντες αὐτὸ καὶ ἀποδιδόντας· οὐδ’ ἕτεροι γὰρ τρέφειν αὐτοὺς δύνανται, παῖδες μὲν ἐν ἀρχῇ τῆς γενέσεως, γονεῖς δ’ ἐπὶ τελευτῇ τοῦ βίου· ὅθεν αὐτοδιδάκτῳ τῇ φύσει νεοττοτροφηθέντες γηροτροφοῦσι χαίροντες· ἆρ’ οὐκ ἄξιον ἐπὶ τούτοις ἀνθρώπους, ὅσοι γονέων ἀμελοῦσιν, ἐγκαλύπτεσθαι καὶ κακίζειν ἑαυτοὺς ὠλιγωρηκότας, ὧν ἢ μόνων ἢ πρὸ τῶν ἄλλων ἀναγκαῖον ἦν περιφροντικέναι, καὶ ταῦτ’ οὐ διδόντας μᾶλλον ἢ ἀποδιδόντας· παίδων γὰρ οὐδὲν ἴδιον, ὃ μὴ γονέων ἐστίν, ἢ οἴκοθεν ἐπιδεδωκότων ἢ τὰς αἰτίας τῆς κτήσεως παρασχομένων ⁝ Ἔτι φασὶ ν , ἐν Κράνωνι τῆς Θετταλίας, ὅτι Ἀλκινόην ὄνομα γυναῖκα ὡραίαν ὁ γήμας ἀπολιπὼν οἴκοι εἴς τινα ἐστείλατο ἀποδημίαν. ἡ τοίνυν Ἀλκινόη ὡμίλει τῶν θεραπόντων τινί· τοῦτο συνιδὼν πελαργὸς οἰκέτης οὐχ ὑπέμεινεν, ἀλλ’ ἐτιμώρησε τῷ δεσπότῃ· προσπηδῶν γοῦν ἐπήρωσε τῆς ἀνθρώπου τὴν ὄψιν. Πελληναῖος χιτών : ἐπὶ τῶν παλαιὰ φορούντων ἱμάτια.

14 17 Πέρδικος ἱερόν : ἐπὶ τῶν ἀνδρείων· Εὐπαλάμῳ γὰρ ἐγένοντο παῖδες Δαίδαλος καὶ Πέρδιξ· ἧς υἱὸς Κάλλως. ᾧ φθονήσας ὁ Δαίδαλος τῆς τέχνης ἔῤῥιψεν αὐτὸν κατὰ τῆς ἀκροπόλεως· ἐφ’ ᾧ ἡ Πέρδιξ ἑαυτὴν ἀνήρτησεν· Ἀθηναῖοι δὲ αὐτὴν ἐτίμησαν. Σοφοκλῆς δὲ ἐν Κωμικοῖς ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα φησί. Περιαγειρόμενος φύλλοις βάλλεται καὶ ἄνθεσιν : ἐπὶ τῶν νικώντων ἐν ἀγῶσι· περιαγειρομένους δὲ ἔλεγον τοὺς ἀθλητάς.

14 18

οἱ μετὰ τὴν νίκην περιαγόμενοι καὶ περιπορευόμενοι ἐλάμβανον οἱ μὲν ζώνας, οἱ δὲ χιτῶνας, οἱ δὲ πετάσους, οἱ δὲ ἄλλα γε ἄττα. Ὅθεν Σιμωνίδης περὶ Ἀετύλου φησὶν οὕτως· Τίς δὴ τῶν νῦ ν , τοσάδε πετάλοισι μύρτων ἢ στεφάνοισι ῥόδων ἀνεδήσατο νίκας ἐν ἀγῶνι περικτιόνω ν ; ἔνιοι δὲ τοῦτο τὸ ἔθος ἀπὸ Θησέως τὴν ἀρχὴν λαβεῖν· ἐκεῖνον γὰρ ἐκ Κρήτης κομισθέντα μετὰ τὸ ἀνελεῖν τὸν Μινώταυρον οἱ ἀπὸ τῆς χώρας ἄνθεσι καὶ φύλλοις ἔβαλον καὶ τοῖς παροῦσι καρποῖς ἐτίμων. Πειρίθου καὶ Θησέως φιλοξενία : ἐπὶ τῶν πολυτελῶς φιλοξενηθέντων καὶ φιλοξενούντων· νόμος δ’ ἦν Ἀθήνησι ξένους εἰσδέχεσθαι τοὺς βουλομένους τῶν Ἑλλήνων· Θεσσαλοὺς δ’ ἐξαιρέτως ὑπεδέχοντο διὰ τὴν Πειρίθου καὶ Θησέως φιλοξενίαν.

14 19 τούτοις δὲ καὶ χώραν ἐμέρισαν, ἣν ἐκάλεσαν Πειριθοΐδα ἀπὸ Πειρίθου τοῦ Ἰξίονος. ὅθεν καὶ Περιθοῖδαι, δῆμος τῆς Οἰνηΐδος φυλῆς. Ἔφορος ἱστορεῖ ἐν τρίτῃ· Πέτρας ἕψεις : Πέτρας σπείρεις : ἐπὶ τῶν ἀδυνάτων.

14 21 Περιεστίαρχος ἐγένου : ἐπὶ τῶν καθαιρόντων· καὶ γὰρ οὗτοι περιεκάθαιρον τὰς ἑστίας καὶ τὰς ἐκκλησίας καὶ τὰς πόλεις. Ἴστρος δὲ ἐν τοῖς Ἀττικοῖς, περίστια, φησί, προσαγορεύεται τὰ καθάρσια· καὶ οἱ τὰ ἱερὰ καθαίροντες περιστίαρχοι· ἔξωθεν γὰρ περιέρχονται μαχαιροφοροῦντες, ἑκάστου τῶν ἱερῶν, οἰκίας περιλημμένοι δημοσίας καὶ περίδρομον ἔχοντες. Περίψημα ἡμῶν ἐγένου : ἤτοι κάθαρμα· ἢ ἀπολύτρωσις.

14 22 οὕτως ἐπέλεγον τῷ κατ’ ἐνιαυτὸν συνέχοντι τῶν κακῶν· περίψημα ἡμῶν γενο ῦ , ἤγουν σωτηρία καὶ ἀπολύτρωσις· καὶ οὕτως ἐνέβαλλον τῇ θαλάσσῃ ὡσανεὶ τῷ Ποσειδῶνι θυσίαν ἀποτιννύντες. λέγεται καὶ περίψημα τὸ καταπάτημα πάντων ὑπὸ τὰ ἴχνη, ἢ ἔμπαιγμα. Πέμπε εἰς ἔσχατον τὴν ἐπιστήμην : παραινετικὴ πρὸς τὸ σπουδάζειν ἀεί.

14 24 Πεύκης τρόπον : ἐπὶ τῶν πανωλεθρίᾳ ἀπολλυμένων· ἐπεὶ ἡ πεύκη κοπεῖσα οὐκ ἀνίησιν ἔτι βλαστόν. Πενίῃ σοφίη ἔλαχεν : ἐπειδὴ οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι.

14 26 Πεινῶσαν ἀλώπεκα ὕπνος ἐπέρχεται : ἐπὶ τῶν πανούργων· ἢ ἐπὶ τῶν πενήτων τῶν δι’ ἀπορίαν τροφῆς ὑπνούντων. ἀλώπεκα δὲ εἶπε, παρόσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι. Τὸ π μετὰ τοῦ η.

14 27 Πῇ με φεύγεις δὶς ἀποθανουμένη ψυχή : Λακεδαιμόνιος νυκτὸς μνῆμα παριὼν καὶ φαντασιωθεὶς δαιμόνιόν τι, ἐπέδραμε τῇ λόγχῃ διαράμενος· καὶ ἀπερείδων εἶπε τουτί. Πηγάσου ταχύτερος : Φασὶν ὅτι Βελλεροφόντην ὑπόπτερος ἵππος Πήγασος ἔφερεν· ἐμοὶ δὲ ἵππος οὐδέποτε δοκεῖ δύνασθαι ἵπτασθαι, οὐδ’ εἰ πάντα τὰ πτηνῶν πτερὰ λάβῃ· εἰ γάρ ποτε τοιοῦτον ζῷον ἦν, καὶ νῦν ἂν εἴη.

14 28 τοῦτον δέ φασι καὶ τὴν Ἀμισοδάρου Χίμαιραν ἀνελεῖν· ἦν δὲ ἡ Χίμαιρα, ὡς φασίν, ἔμπροσθεν μὲν λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ Χίμαιρα. ἔνιοι δὲ δοκοῦσι τοιοῦτον γενέσθαι θηρίον τρεῖς ἔχον κεφαλάς· ἀδύνατον δὲ λέοντα καὶ αἶγα ὁμοίᾳ τροφῇ χρῆσθαι· καὶ τὸ θνητὴν ἔχον φύσιν πῦρ ἀποπνέειν εὔηθες. ποίαις δὲ τῶν κεφαλῶν τὸ σῶμα ἐπηκολούθει; τὸ δὲ ἀληθὲς οὕτως. Βελλεροφόντης ἦν Φρύγιος ἀνὴρ τὸ γένος Κορίνθιος, καλὸς καὶ ἀγαθός, ὃς πλοῖον κατασκευάσας μακρὸν ἐληΐζετο τὰ παραθαλάσσια χωρία. ὄνομα ἦν τῷ πλοίῳ Πήγασος, ὡς καὶ νῦν ἕκαστον τῶν πλοίων ὄνομα ἔχει· ὅμοιον δὲ δοκεῖ πλοῖον μᾶλλον ἢ ὄνομα ἵππῳ εἶναι Πήγασος. Βασιλεὺς δὲ Ἀμισόδαρος ᾤκει ἐπὶ τῷ Ξάνθῳ ποταμῷ. ὄρος δὲ ἦν ὑψηλὸν ὑπ’ αὐτῷ, ᾧ ὄνομα Τελμισός· πρὸς ὃ δὴ ὄρος προβάσεις εἰσὶ δύο ἔμπροσθεν ἐκ πόλεως τῶν Ξανθίων, τρίτη δὲ ὄπισθεν τῆς Καρίας, τὰ δ’ ἄλλα κρημνοί· ἐν δὲ τῷ μέσῳ αὐτῶν χάσμα ἐστὶ τῶν τῆς γῆς μέγα, ἐξ οὗ δὴ καὶ πῦρ ἀναδίδοται. ἐπὶ τούτοις δέ ἐστιν ἕτερον ὄρος, ᾧ ὄνομα Χίμαιρα· τότε δὲ ἦν, ὡς λέγουσιν οἱ προσχώριοι, κατὰ μὲν τὴν πρόβασιν οἰκῶν λέων ἔμπροσθεν, ὄπισθεν δὲ δράκων· οἳ δὴ καὶ ἔσινον τοὺς νομέας καὶ τοὺς ὑλοτόμους· τότε δὲ καὶ Βελλεροφόντης ἐλθὼν τὸ ὄρος ἐνέπρησε καὶ ἡ Τελμισὸς κατεκάη καὶ τὰ θηρία ἀπώλετο. ἔλεγον δὲ οἱ προσχώριοι,

Βελλεροφόντην ἀφικόμενον μετὰ Πεγάσου τὴν Ἀμισοδάρου Χίμαιραν ἀπολέσαι. τούτου δὲ γεγονότος προσανεπλάσθη ὁ μῦθος. Πηνικίζειν μοι δοκεῖς : ἀντὶ τοῦ ἀπατᾶν.

14 29 πηνίκη δέ ἐστι περικεφαλαία τριχαστὴ καὶ περιθετὴ κόμη· τῆς δὲ περιθετῆς κόμης τὸ μὲν ἔντριχον, τὸ δὲ προκόμιον, τὸ δὲ πηνίκην καλοῦσι. Τὸ π μετὰ τοῦ ι.

14 30 Πιττακὸ ς , οὐδὲν ἄγα ν , ὃς ἔην ἐκ Μιτυλήνης. Πικρόν με ἀπαιτεῖς ἐνοίκιον : ἐπὶ τῶν βαρέα ἐπιταττόντων.

14 32 Πίθηκος ἐν πορφύρᾳ : οἱ φαῦλοι κἂν καλοῖς περιβληθῶσιν, ὅμως διαφαίνονται πονηροί. Πίθηκος ὁ πίθηκος κἂν χρύεα σύμβολα ἔχῃ.

14 34t Τὸ π μετὰ τοῦ λ. Πλίνθον πλύνεις : ἐπὶ τῶν ἀδυνάτων.

14 35 Πλείους προσκυνοῦσι τὸν ἥλιον ἀνατέλλοντα ἢ δύνοντα : ἐπὶ τῶν δι’ ἀρετὴν τιμωμένων ἐν τῇ νεότητι ἢ τῷ γήρᾳ. Πλατάγη δοκιμάσει : ἔστι δὲ φύλλον τῆς μήκωνος· δι’ αὐτῆς γοῦν ἐσημειοῦντο τὴν τῶν ἐρωμένων στοργήν, τιθέντες ἐπί τε τοῦ ἀντίχειρος καὶ τοῦ λιχανοῦ, καὶ ἀντικόπτοντες· καὶ εἰ μὲν ἤχησεν, ἐστέργοντο· εἰ δ’ οὖν, τὸ ἀνάπαλιν.

14 37 Πλατάγη Ἀρχύτου : ἐπὶ τῶν ἡσυχάζειν οὐ δυναμένων. ὁ γὰρ Ἀρχύτας τέκτων ὢν ἐπενόησε πλατάγην, ἣν ἐδίδοσαν τοῖς παιδίοις, ἵνα μηδὲν τῶν κατὰ τὴν οἰκίαν σκευῶν διασαλεύσωσι. Πλόκιον Γοργόνης : ὅτι φόβον ἐνεποίει· ἦν δὲ πλόκαμος τῆς Γοργόνης, ὃς ἐδόθη Ἀστερόπῃ τῆς Κηφέως, καθ’ ὃν χρόνον Κηφεὺς Ἡρακλεῖ συνεστράτευσεν εἰς Λακεδαιμονίαν, ἵνα τούτου ἀποδημοῦντος ἡ πόλις ἀπόρθητος μείνῃ.

14 39t Τὸ π μετὰ τοῦ ο. Πολλά κεν εἰδείης , οἷς τὸν θεὸν ἐξαπατήσαις : ἐπὶ τῶν καταφρονούντων τινῶν.

14 39 ἢ ἐπὶ τῶν οἰομένων τὸ θεῖον κατασοφίζεσθαι. Πολλῶν ἀχύρων ὀλίγον καρπὸν ἀνήγαγον : ἐπὶ τῶν πολλὰ ποιούντων, ὀλίγα δὲ καρπουμένων.

14 41 Πολλὰ ψεύδονται ἀοιδο ί . Πολύποδος κεφαλὴ ἔνι μὲν κακή · ἔνι δὲ καὶ ἐσθλή : διότι ἐστὶ μὲν αὐτῷ ἐδώδιμος ἡ κεφαλή, ἔστι δ’ αὐτῷ καὶ ὁ πρωκτός· οἱ δέ φασι τὴν παροιμίαν λέγεσθαι ἐπὶ τῶν ὄντων συμμίκτων καὶ μετεχόντων κακότητος καὶ ἀγαθότητος· τοῦ γὰρ πολύποδος ἡ κεφαλὴ ζῶσα μὲν δάκνει τοὺς προσιόντας, θανοῦσα δέ ἐστιν ἐδώδιμος ⁝ Ὁ πολύπους ἑστιᾶται μὲν καὶ ἄλλαις τροφαῖς· ἔστι γὰρ καὶ φαγεῖν δεινὸς καὶ ἐπιβουλεῦσαι σφόδρα πανοῦργος.

14 42 τὸ δὲ αἴτιον, παμβορώτατον θηρίων θαλαττίων ἐστί· καὶ ἀπόδειξις, εἴτις αὐτῷ γένηται ἀθηρία, τῶν ἑαυτοῦ πλοκάμων παρέτραγε καὶ τὴν γαστέρα κορέσας τὴν σπάνιν τῆς ἄγρας ἠκέσατο· εἶτα ἀναφύει τὸ ἐλλεῖπον, ὥσπερ οὖν τῆς φύσεως καὶ τοῦτό οἱ ἐν τῷ λιμῷ παρασκευαζούσης ἕτοιμον τὸ δεῖπνον ⁝ Πολύπους ποτὲ ἑρπύσας εἰς πέτραν προήκουσαν, οὐ μὴν ἄγαν ὑψηλὴν, εἶτα ἥπλωσε τὰς πλεκτάνας. οὐ μὴν ἑαυτὸν εἰς τὴν χρόαν τῆς πέτρας ἐκτρέψας ἦν· πεφύκασι δὲ ἄρα δρᾶν τοῦτο οἱ πολύποδες, καὶ τὰς εἰς ἑαυτοὺς ἐπιβουλὰς φυλαττόμενοι, καὶ μέντοι καὶ αὐτοὶ τοὺς ἰχθῦς ἐλλοχῶντες. ἰδὼν οὖν ὀξὺ μέν, ἑαυτῷ δὲ οὐκ ἀγαθὸν τὸ θήραμα ἀετός, ὥσπερ οὖν ὁρμῇς τε ἅμα καὶ πτερῶν εἶχεν ἐμπηδᾷ τῷ πολύποδι, καὶ μέντοι καὶ δεῖπνον ἕξειν ἕτοιμον ἑαυτῷ τε καὶ τοῖς παισὶ τοῖς ἑαυτοῦ κατέγραφε. πλόκαμοι δὲ ἄρα ἰχθύος ἐκείνου περιβάλλουσι τῷ ἀετῷ σφᾶς ἑαυτούς, καὶ ἀπρὶξ ἐχόμενοι εἶτα ἕλκουσι κάτω τὸν ἔχθιστον· καὶ χανὼν λύκος, ὡς ἂν εἴποις, εἶτα μέντοι νεκρὸς ἐπενήχετο τῇ θαλάττῃ ὁ ἀετὸς ὑπὸ τοῦ δείπνου. μυρία μὲν δὴ τοιαῦτα πάσχουσιν ὄρνιθες, πλείω δὲ ἄνθρωποι· ἐν δὲ τοῖς ᾀδομένοις ὑφ’ Ἡροδότῳ Μασαγέταις ὁ Καμβύσης Κῦρος ὁ ἕτερος, καὶ μέντοι καὶ Πολυκράτης εἰς Ὀροίτου σπεύσας ὡς τὸν χρυσὸν ἁρπασόμενος, καὶ ἄλλος Τεύχων ἑτέρῳ κακὸν ἑῷ ἥπατι τεύχει · καὶ ταῦτα μὲν οὐκ οἶδε τὰ ἄλογα, ἄνθρωποι δὲ οἱ εἰδότες οὐ φυλάττονται. Πολλαῖς πληγαῖς δρῦς δαμάζεται : πρὸς τοὺς δυσαλώτους.

14 44

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πολυμαθείη κάρτα μὲν ὠφελέει· κάρτα δὲ βλάπτει· ὠφελέει μὲν τὸν ἄξιον ἐόντα, βλάπτει δὲ τὸν ῥηϊδίως φωνέοντα πᾶν ἔπος, κἐν παντὶ δήμῳ· χρὴ δὲ καιροῦ μέτρα εἰδέναι, σοφίης γὰρ ὅρος οὗτος. Ἀναξάρχου. Πολλαὶ κυνὸς ἄῤῥενος εὐναί : ἐπὶ τῶν κατωφερῶν εἰς τὰ ἀφροδίσια.

14 46 Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος ἄκρου : ἐπὶ τῶν εἰς χρόνον μακρὸν γενήσεσθαι μελλόντων· ἄμπελον γάρ τινος φυτεύοντος, εἷς τῶν οἰκετῶν εἶπε τὸν στίχον τοῦτον ⋮ Ὁ δὲ Διογενιανός, Ἀγκαῖος ἄμπελον φυτεύσας, φησί, βαρέως ἐπέκειτο τοῖς οἰκέταις· εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ γεύσασθαι αὐτὸν τῆς ἀμπέλου. ἐπεὶ οὖν ὁ καρπὸς ἐφθάκει, τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ· μέλλων δὲ προσφέρειν τὴν κύλικα τῷ στόματι, ὑπεμίμνησκεν αὐτὸν τοῦ στίχου. καὶ τούτων λεγομένων ἄλλος οἰκέτης ἦλθεν ἀπαγγέλλων, ὡς σῦς τὴν χώραν λυμαίνεται· ὁ δὲ ὁρμήσας ἀνῃρέθη. Πόνον σπείρεις : ἐπὶ τῶν μάτην πονούντων. [10]

14 48 Ποταμῷ μεγάλῳ ὀχετῶν ἐπάγει : ἐπὶ τῶν ματαιολογούντων. Ποικιλώτερος : ἐπὶ τῶν δολερῶν.

14 50 Ποταμὸς τὰ πόῤῥω ποτίζων τὰ ἔγγιον καταλείπει : ἐπὶ τῶν τοὺς ξένους εὐεργετούντων, τῶν οἰκείων δὲ ἀμελούντων. Πολλοὶ στρατηγοὶ Καρίαν ἀπώλεσαν : ἐπὶ τῶν μὴ ὁμογνωμονούντων.

14 52 Πόλεμος Κόνωνι μελήσει : ἐπὶ τῶν περὶ ἀλλοτρίων φροντιζόντων. Πολλά κεν ἀπὸ πολέμου : ἤτοι διὰ τὸ πολλὰ καθ’ ὑπόνοιαν φέρειν· ἢ ὅτι Λακεδαιμόνιοι κεναῖς σφενδόναις καὶ νευραῖς ἐψόφουν πρὸς ἔκπληξιν τῶν πολεμίων.

14 54 Πολλοὶ βουκέντα ι , παῦροι δέ τε γῆς ἀροτῆρε ς . Πολλοὺς ἄνδρας Λακεδαίμων ἔχει τήνου κάῤῥονας : Ἀργιλεωνὶς ἡ Βρασίδου μήτηρ, τελευτήσαντος αὐτῇ τοῦ υἱοῦ, ὡς παραγενόμενοί τινες τῶν Ἀμφιπολιτῶν εἰς Σπάρτην, ἧκον πρὸς αὐτήν, ἐρώτησεν, εἰ καλῶς καὶ ἀξίως τῆς Σπάρτης ὁ υἱὸς ἐτελεύτα· μεγαλυνόντων δ’ ἐκείνων καὶ λεγόντων, ἄριστον ἐν τοῖς τοιούτοις ἔργοις ἁπάντων Λακεδαιμονίων εἶναι, εἶπε τοῦτο τὸ ἀπόφθεγμα. [5]

14 56 Ποιήσω τὴν οἰκίαν σου Δούρειον ἵππον : ἤτοι ἀφανίσω αὐτήν· ἱπποκόμος εἴρηκε τουτὶ Θεμιστοκλέους· εἴληπται δὲ ἀπὸ τοῦ ἐν τῇ Τροίᾳ Δουρείου ἵππου, ᾧ Ὀδυσσεὺς τὴν Τροίαν ἐπόρθησεν. Ποῦ γῆς ἢ θαλάττης ὑπῆρχε ς ; ἐπὶ τῶν ἀνοήτων.

14 58 Πόντος ἀγαθῶν : ἐπὶ τῶν πολλὰ ἀγαθὰ ἐχόντων. Πολλοί σε μισήσουσιν ἂν σαυτὸν φιλῇς : τοῦτό φασι Νύμφας πρὸς Νάρκισσον εἰπεῖν, ἀποβλέποντα εἰς πηγὴν καὶ τὴν οἰκείαν ποθοῦντα μορφήν.

14 60 Πόλ λ ’ οἶ δ ’ ἀλώπηξ · ἀλ λ ’ ἐχῖνος ἓν μέγ α . Πολλοί τοι ναρθηκοφόροι , παῦροι δέ τε Βάκχοι : ἐπὶ τῶν δοξαζόντων εἶναι λαμπρῶν, μὴ ὄντων δέ.

14 62 Πόλεμός τις ἀσίδηρος ἀνὰ τὴν Ἑλλάδα κεκίνηται : ἐπὶ τῶν λόγοις μαχομένων· οὕτω γὰρ ἔθος τοῖς σοφοῖς μάχεσθαι πρὸς ἀλλήλους. Πονηρὰ κατὰ τρυγόνα ψάλλεις : ἐπὶ τῶν ἐπιπόνως ζώντων.

14 64 Ποταμὸς θάλατταν ἐρίζει : ἐπὶ τῶν ἀνοήτων καὶ ἀδυνάτων. Πόῤῥω Διός τε καὶ κεραυνοῦ : ἐπὶ τῶν ἐπιβούλως τοῖς συνοῦσι χρωμένων· ἡ γὰρ μετ’ ἀπραγμοσύνης ἀσφάλεια τῶν ἐν ἐπιφανεῖ βίῳ κινδύνων ἀδεεστέρα· οὐ γὰρ ἔφθασέ τις μακαρισθῆναι τῆς τοῦ τυράννου φιλίας, καὶ ἠλεήθη τῆς ἔχθρας. [5]

14 66 Πολλῶν πανηγύρεων Διὸς βαλάνους ἔφαγεν : ἐπὶ τῶν ἐμπείρων. Ποικιλώτερος ὕδρας : ἐπὶ τῶν δολερῶν.

14 68 Πολλῶν ἐγὼ θηρίων ἀκήκοα ψόφους : ἐπὶ τῶν πεπειραμένων ἐν πράγμασιν· ἢ ἐπὶ τῶν φοβούντων οὐ δεόντως. Πολλάκις καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν : ἐπὶ τῶν ἀσκέπτως καὶ σπανίως εἰπόντων τι συνετόν.

14 70 Πολύποδος ὁμοιότης : ἐπὶ τῶν ἐξομοιούντων ἑαυτούς τισιν ἢ χρηστοῖς ἢ φαύλοις ⋮ Τούτου φασὶ χῆρον εἶναι τὸν πόντον διὰ τὸ ἀπεχθάνεσθαι τῷ ψυχρῷ καὶ γλυκεῖ, τὸ δὲ βόρειον πέλαγος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχρότερον πέφυκε καὶ γλυκύ· ὑπὸ πολλῶν γὰρ καὶ μεγάλων ποταμῶν ἐπιρρεῖται. διὸ οἱ πρὸς ἄγραν δεινοὶ γλυκὺ ὕδωρ ἐπιχέουσι τῇ πέτρᾳ, ᾗ ἂν ἐκεῖνος περιπλακῇ. καὶ οἱ μὲν ἔχουσι τὸ ζητούμενον θήραμα, ὁ δὲ τῆς ἑαυτοῦ ἄκων ἐξανίσταται βάσεως. Ποηφάγου δειλότερος : τουτὶ τὸ ζῷον ἐν Ἰνδοῖς ἐστί, καὶ πέφυκέ γε διπλάσιον ἵππου τὸ μέγεθος· οὐρὰν δὲ ἔχει δασυτάτην καὶ μελαίνης ἀκράτως χρόας· καί εἰσιν αὗται αἱ τρίχες τῶν ἀνθρωπίνων λεπτότεραι ἂν καὶ ἐν μεγάλῳ τίθενται ταύτας ἔχειν Ἰνδῶν αἱ γυναῖκες· καὶ γάρ τοι παραπλέκονται μάλα ἐξ αὐτῶν καὶ κοσμοῦνται ὡραίως, ταῖς πλοκαμῖσι ταῖς συμφύτοις καὶ ταύτας ὑποδέουσαι.

14 71 προήκει δὲ καὶ εἰς δύο πήχεις ἑκάστης τὸ μῆκος τριχός, ἐκ μιᾶς δὲ ῥίζης ὁμοῦ καὶ τριάκοντα θυσανηδὸν ἐκπεφύκασι· ζῴων δὲ ἄρα τοῦτο ἁπάντων δειλότατον ἦν· ἐὰν δὲ ὑπό τινος ὀφθῇ καὶ αἴσθηται βλεπόμενον, ᾗ ποδῶν ἔχει φεύγει καὶ πρόεισι καὶ κέχρηται προθυμίᾳ μᾶλλον ἢ σκελῶν ὠκύτητι· καὶ διώκεται μὲν ὑπὸ ἱππέων καὶ κυνῶν ἀγαθῶν δραμεῖν· ἐὰν μέντοι συνίδῃ ὅτι ἄρα ἁλίσκεσθαι μέλλει, τὴν οὐρὰν ἀπέκρυψεν ἔν τινι δάσει, αὐτὸ δὲ ἀντιπρόσωπον ἕστηκε, καὶ δοκεύει τοὺς θηρευτάς, καὶ ὑποθαῤῥεῖ πως, καὶ οἴεται μηκέτι φανῆναι περισπούδαστον, τῆς οὐρᾶς μὴ βλεπομένης· ἐκείνην γὰρ οἶδεν εἶναι τὸ κάλλος. κενὴν δὲ ἄρα ἴσχει τὴν ὑπὲρ τούτου φαντασίαν· βάλλει γάρ τις αὐτὸ βέλει πεφαρμαγμένῳ, καὶ ἀποκτείνας ἀποκόψει τὴν οὐράν, τὸ ἆθλον τῆς ἄγρας· καὶ δείρας τὸ πᾶν σῶμα (ἀγαθὴ γὰρ καὶ ἡ δορά) ἀφῆκε τὸν νεκρόν ⋮ Λέγεται καὶ ἑτέρα δημώδης περὶ αὐτοῦ παροιμία· Ὅλος φαινόμενος τὴν οὐρὰν ἀποκρύπτε ι . Πόᾳ λίθον ἐκβάλλει : ἐπὶ τῶν τἀναντία τοῖς ἐπιβούλοις ποιούντων ⋮ Ὁ γὰρ δρυοκολάπτης τὸ ζῷον, ἔχει μὲν ῥάμφος ἐπίκυρτον, κολάπτει δὲ ἄρα τούτῳ τὰς δρῦς, καὶ ἐνταυθοῖ κοιλάνας τὸν τόπον, ὡς εἰς καλλιὰν τοὺς νεοττοὺς ἐντίθησιν, οὐ δεηθεὶς καρφῶν καὶ τῆς ἐξ αὐτῶν πλοκῆς καὶ οἰκοδομίας οὐδέν.

14 72 οὐκοῦν εἴτις λίθον ἐνθεὶς ἐπιφράξειε τούτῳ τὴν εἴσδυσιν, ὁ δὲ συμβαλὼν ἐπιβουλὴν τὴν κατ’ αὐτοῦ, κομίζει πόαν ἐχθρὰν τῷ λίθῳ, καὶ κατ’ αὐτοῦ τίθησιν· ὁ δὲ οἷα βαρούμενος καὶ μὴ φέρων ἐξάλλεται, καὶ ἀνέῳγεν αὖθις τῷ προειρημένῳ ἡ φίλη ὑποδρομή. Τὸ π μετὰ τοῦ ρ.

14 73 Πρεσβύτερος Κόδρου : ἐπὶ τῶν πάνυ παλαιῶν. ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι Κόδρου. Πράμνιον οἶνον ἔπιες : Ἀρίσταρχος ἐπιμελῶς τὸν ἡδὺν οἶνον πράμνιον ἔλεγε.

14 74 τινὲς τὸν ὤνιον οἶνον, παραμόνιμον. τινὲς ἀπὸ ἀμπέλου πραμνίας ὀνομαζομένης· οἱ δὲ ἰδίως τὸν μέλανα· ἔνιοι τὸν πραΰνοντα τὸ μένος, ὃν καὶ φαρμακτίτην φασίν· ἕτεροι πράμνιον πέτραν εἶναι, ἀφ’ ἧς τὸν οἶνον εἶναι. Πρὶν ἢ πτίσαι τὰ ἄλευρα : καί· Πρὶν τοὺς ἰχθῦς ἑλεῖν , σὺ τὴν ἅλμην κυκᾷς : καί· Πρὶν ἐσφάχθαι δέρεις : ἐπὶ τῶν πρωθύστερόν τι ποιούντων.

14 76 Προδίκου σοφώτερος : οὗτος ἦν καὶ σοφὸς λίαν καὶ ἀκριβὴς δικαστὴς καὶ διαιτητής. Πρύμναν ἐκρούοντο : πρύμναν ἀνακρούεσθαί ἐστι τὸ κατ’ ὀλίγον ὑπαναχωρεῖν, μὴ στρέψαντας τὸ πλοῖον· ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ· τοῦτο δὲ ποιοῦσιν, ἵνα δείξωσι μὴ φανερῶς φεύγειν· ἵνα μὴ τὰ νῶτα δόντες τοῖς πολεμίοις τιτρώσκωνται.

14 78 Πρωκτὸς λουτροῦ περιγίνεται : ἐπὶ τῶν ἀνωφελῶν καὶ εἰκῇ πραττομένων ἐλέγετο· οἱ γὰρ παχύπρωκτοι καὶ προγάστορες οὐ δύνανται ἑαυτοὺς ἀπονίψασθαι εὐπετῶς. Προφάσεως οὐ δεῖ πρὸς φίλου ς .

14 80 Πρόβατον μὲν ἀεὶ τὴν αὐτὴν φθέγγεται φωνήν , ἄνθρωπος δὲ πολλὰς καὶ ποικίλας : ἐπὶ τῶν ἐναντία φθεγγομένων καὶ ἄνισα. Προβατίου βίον λέγεις : ἐπὶ τῶν ἀπραγμόνων.

14 81 τοῦτο γὰρ τὸ ζῷον ἁπλούστατον ὂν, τοῖς παρατυχοῦσι τρέφεται καὶ οὐ ζήτησιν τῆς τροφῆς ποιεῖται, ὥσπερ τὰ ἄλλα ζῷα· ὥστε ὁ τούτου βίος μαλακὸς καὶ φαῦλος ἐστί. Προσήκει τοῖς τέκνοις ἐντὸς θυρῶν λοιδορεῖσθαι : ἐπὶ τῶν τὰς οἰκείας αἰσχύνας μὴ ὁρώντων, ἀλλ’ ἑτέροις λοιδορουμένων.

14 82

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἱέρου γὰρ υἱὸν ἔχοντος, οὐ εὖ κεχρημένον ἐφ’ ὥρᾳ τῷ σώματι, τὸν δὲ Κικέρωνα λοιδοροῦντος εἰς μαλακίαν καὶ κίναιδον ἀποκαλοῦντος, εἶπε τοῦτο Κικέρων. Προμέρου κύνες : τοῦτον οἰκέτην ὄντα βασιλικὸν μισῆσαι καθ’ ὑπερβολὴν τῶν τραγῳδιῶν τὸν ποιητὴν Εὐριπίδην ἐπαφεῖναί τε αὐτῷ κύνας ἀγρίους, οἳ τὸν Εὐριπίδην κατεθοινήσαντο.

14 84 Πρόκριδος ἄκοντα : ἐπὶ τῶν πάντα νικώντων· τοῦτον γὰρ ἔχων ἡ Πρόκρις πάντα ἐνίκα. Πρὸ τούτου σε ᾤμην κέρατα ἔχειν : ἐπὶ τῶν ἀνδρίας ὑπόληψιν ἐχόντων.

14 86 Πρὸς κώρυκον γυμνάζεται : ἐπὶ τῶν διακενῆς μοχθούντων. Πρὸ τῆς νίκης τὸ ἐγκώμιον : ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα.

14 87 ὁμοία τῇ, Ἄλμην τοι κυκᾷς πρὶν τοὺς ἰχθύας ἕλοι ς . Πρότερον χελώνη παραδραμεῖται δασύποδα : ἐπὶ τῶν ἀδυνάτων.

14 89 Προβάτων οὐδὲν ὄφελος , ἐὰν ποιμὴν ἀπῇ : ἐπὶ τοῦ ἀναγκαίου. Προφάσεως δεῖται μόνον ἡ πονηρί α .

14 91 Πράγματα ἐξ ἀπραξίας : ἐπὶ τῶν παρὰ δόξαν καὶ ἐλπίδα συμβαινόντων. Πρὸς κενὸν ψάλλεις : ἐπὶ τῶν μάτην πονούντων.

14 93 Πρίν κεν δύο ἐχῖνοι εἰς φιλίαν ἔλθητον · ὁ μὲν ἐκ πελάγους , ὁ δ ’ ἐκ χερσαίου : ἐπὶ τοῦ ἀδυνάτου καὶ ἀνομοίου. Πρὸ τῆς γενειάδος διδάσκεις τοὺς γέροντας : ἡ μὲν παροιμία ἐπιδηλοτάτη· ἰστέον μέντοι γε, ὡς ὅτι κατὰ μὲν Σόλωνα τὸν Ἀθήναιον δέκα ἡλικίαι εἰσίν.

14 94 οὕτω γὰρ ἀνέγραψεν ἐλεγεῖα ποιήσας τάδε· Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ’ ἔτεσι· τοὺς δ’ ἑτέρους ὅτε δὴ τελέσει θεὸς ἕπτ’ ἐνιαυτούς, ἥβης ἐκφαίνει σήματα γινομένης· τῇ τριτάτῃ δὲ γένεια ἀεξομένων ἐπὶ γυίων λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης. τῇ δὲ τετάρτῃ παῖς τις ἐν ἑβδομάσιν ἄριστος ἰσχύν, ἧτ’ ἄνδρες σήματ’ ἔχους’ ἀρετᾶς. πέμπτῃ δ’ ὥρῃ ἄνδρα γάμου μεμνημένον εἶναι καὶ παίδων ζητεῖν ἐξοπίσω γενεήν. τῇ δ’ ἕκτῃ περὶ πάντα καταρτύνεται νόος ἀνδρός, οὐδ’ ἕρδειν ἔθ’ ὁμῶς ἔργ’ ἀπάλαμν’ ἐθέλει. ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μετ’ ἀρίσταις, ὀκτὼ δ’ ἀμφότερα τεσσαρακαίδεκ’ ἔτη· τῇ δ’ ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ’ αὐτοῦ πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη· τῇ δεκάτῃ δ’ εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχει θανάτου. Οὕτω μὲν οὖν ὁ Σόλων· ὁ δ’ ἰατρὸς Ἱπποκράτης οὕτω φησίν· Ἐν ἀνθρώπου φύσει ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέουσι· παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνὴρ, πρεσβύτης, γέρων. καὶ παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν, ὀδόντων ἐκβολῆς· παῖς δ’ ἄχρι γονῆς ἐκφύσιος, ἐς τὰ δὶς ἑπτά· μειράκιον δὲ ἄχρι γενείου λαχνώσιος, ἐς τὰ τρὶς ἑπτά· νεανίσκος δ’ ἄχρις αὐξήσιος ὅλου τοῦ σώματος, εἰς τὰ τετράκις ἑπτά· ἀνὴρ δ’ ἄχρις ἑνὸς δεόντος πεντήκοντα, εἰς τὰ ἑπτάκις ἑπτά· πρεσβύτης δ’ ἄχρι πεντήκοντα ἕξ, εἰς τὰ ἑπτάκις ὀκτώ· τὸ δ’ ἐντεῦθεν, γέρων. Προβάλλοντες κυσὶν ἄρνας : ἐπὶ τῶν τοὺς ἀπράγμονας παραδιδόντων συκοφάνταις.

14 96 Πρίν κεν λύκος ὄϊν ποιμαίνῃ : ἐπὶ τοῦ ἀδυνάτου. Πρᾳότερος περιστερᾶς : ἐπὶ τῶν ἐπιεικῶν.

14 98 Πρὸς Κᾶρα καρίζεις : ὡς καί· Πρὸς Κρῆτα κρητίζει ς . Πρὸς σῆμα μητρυιᾶς κλαίει : ἐπὶ τοῦ ἀφροντίστου.

14 99 ἢ προσποιουμένου. Πρὸς κέντρα λακτίζει ς .

14 100 Προφάσεως δεῖται μόνον ἡ παροιμία : ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων. Πρὸς λέοντα δορκάδες συνάπτουσι μάχας : ἐπὶ τῶν ἐριζόντων πρὸς κρείττονας.

15 2t Τὸ π μετὰ τοῦ τ. Πτερυγίζεις : ἐπὶ τῶν ἐπηρμένων καὶ ἀνύσαι τι μὴ ἰσχυόντων· εἴληπται ἐκ μεταφορᾶς τῶν ἐπιβαλλομένων μὲν πέτεσθαι νεοσσῶν, μὴ δυναμένων δὲ καὶ εἰς γῆν πιπτόντων.

15 3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πτολεμαῒς δίκη : ἐπὶ τῶν ἀναβαλλομένων· πρεσβύτης δὲ ἦν ἡ Πτολεμαΐς, ἄχρις οὗ ἀποθάνοι δίκας λέγουσα, καὶ ἀεὶ ὑπερτιθεμένη· διὰ τὸ μηδέποτε βούλεσθαι ἀπαλλαγῆναι τοῦ δικάζεσθαι. Πτωχότερος κιγγάλου : κίγγαλος πτηνὸν γυμνόν.

15 5 Πτερὸν ἀετοῦ πτεροῖς ἄλλων μιγνύεις : ἐπὶ τῶν τὰ ἄμικτα μιγνυόντων ⁝ Τὸν ἀετὸν οὐ μόνον παρόντα καὶ ζῶντα δέδοικε τὰ ὄρνεα καὶ καταπτήσσει φανέντος, ἀλλὰ καὶ τὰ πτερὰ ἐκείνου ἐάν τις τοῖς τῶν ἄλλων συναναμίξῃ, τὰ μὲν τοῦ ἀετοῦ μένει ὁλόκληρα καὶ ἀνεπιβούλευτα, τὰ δὲ ἕτερα κατασήπεται, τὴν πρὸς ἐκεῖνα κοινωνίαν οὐ φέροντα. Πτίσσε πτίσσε τὸν Ἀναξάρχου θύλακον · οὐ γὰρ πτίσσεις Ἀνάξαρχον : οὗτος συσχεθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ. [5]

15 6 πτίσσεσθαι δέ ἐστι τὸ δίκην πτισάνης τύπτεσθαι· ἔνθεν καὶ πτισάνη παρὰ τὸ πτίσσεσθαι. πτισσόμενος δὲ οὕτως ἔφη, αἰνιττόμενος οἷα φιλόσοφος δῆθεν, τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι. Πτωχοῦ φίλοι οὐ δ ’ οἱ γεννήτορε ς . [5]

15 8 Πτωχοῦ πήρα οὐ πίμπλαται : ἐπὶ τῶν ἀπλήστων. Τὸ π μετὰ τοῦ υ.

15 9 Πύθια καὶ Δήλια : ἐπὶ τῶν ταχέως ἀπολλυμένων. Φασὶ Πολυκράτην τὸν Σάμου τύραννον Πύθια καὶ Δήλια ποιήσαντα ἅμα ἐν Δήλῳ πέμψαι εἰς θεοῦ χρησόμενον, εἰ τὰ τῆς θυσίας ἄγει κατὰ τὸ ὡρισμένον· τὴν δὲ Πυθίαν ἀνελεῖν· ταῦτά σοι καὶ Πύθια καὶ Δήλι α , βουλομένη δηλοῦν, ὅτι ἔσχατα· μετ’ ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη. Ἐπίκουρος ἔν τινι τῶν πρὸς Ἰδομενέα ἐπιστολῶν ταῦτα φησί. Πυθίων ὕστερον ἧκες : ἐπὶ τῶν ὑστεριζόντων· τὰ δὲ Πύθια ἐτελεῖτο ἐν Δελφοῖς. [5]

15 10 Δελφοὶ δὲ λέγονται διὰ τὸ τὸν Δελφύνην δράκοντα ἐκεῖ ἀναιρεθῆναι, ὃν ἀπέκτεινεν ὁ Ἀπόλλων· διὰ δὲ τὸ σαπηθῆναι ἐκεῖ τὸν Δελφύνην λέγονται οἱ Δελφοὶ καὶ Πυθώ· πύθω γὰρ τὸ σήπω· Πυθὼ οὖν καὶ Πύθια καὶ Πυθία. Πυθαγορικοὺς κυάμους μὴ ἔσθιε : ἀντὶ τοῦ μὴ ἀδίκει. [5]

15 11 οὗτοι γὰρ δι’ αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα· παρεδίδοτο δὲ μετὰ τὰ ἄλλα καὶ τοῦτο τὸ αἴνιγμα· κυάμους μὴ ἐσθίειν · τουτέστι μὴ προδιδόντας τὸ δίκαιον δωροδοκεῖσθαι χρήμασιν. οἱ γὰρ Ἀθήνησι δικασταὶ τὸ παλαιὸν ἀντὶ ψήφων κυάμους ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις. φασὶν οὖν ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου μὴ δεῖν ἐσθίειν. Πυγμαῖα ἀκροθίνια κολοσσῷ ἐφαρμόζεις : ἐπὶ τῶν ἀνόμοια ποιούντων. [5]

15 13 Πυλωρὸς κακός : ἐπὶ τῶν μὴ καλῶς φυλασσόντων· Θυρικίων γὰρ ἐκ Δελφῶν παραγενόμενος, ἰδὼν τὸ Φιλίππου στρατόπεδον ἐν Ἰσθμῷ τὰ στενὰ κατειληφότας, κακού ς , ἔφη, πυλωροὺς ὑμᾶ ς , ὦ Κορίνθιο ι , ἡ Πελοπόνησος ἔχε ι . Πύθου Χελιδόνος : ἀντὶ τοῦ, ἐγκαίρως ποίει τὰ σαυτοῦ. [5]

15 14 ἀπό τινος Χελιδόνος θεολόγου καὶ τερατοσκόπου, περὶ τελῶν διειλεγμένου· ὡς Μνασέας ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ. οἱ δὲ ὅτι θρηνητικὸν τὸ ζῷον· οἱ δὲ ὅτι τὸ ἔαρ προσημαίνει. Πῦρ ἐπὶ πυρί : Κακὸν ἐπὶ κακῷ : ταύτης μέμνηται καὶ Πλάτων καὶ Λιβάνιος· πῦρ ἐπὶ πῦρ ἠσθόμη ν . [5]

15 16 Πυῤῥάνδρου μηχάνημα : οὗτος ἐγένετο πονηρὸς καὶ συκοφάντης. Ἀρχὴ τοῦ ῥ στοιχείου.

15 17t Τὸ ρ μετὰ τοῦ α. Ῥαδαμάνθυος ὅρκος : ἐπὶ τῶν ἐπὶ δικαιοσύνῃ μαρτυρουμένων.

15 17 ὁ δὲ ὅρκος ἦν κατὰ χηνὸς ἢ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου· οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. Ῥᾷον ἢ τὸ ὄρειον ὑπερέβησαν οἱ Βοιωτοί : ἐπὶ τῶν τοὺς ὅρους καὶ τὸ μέτρον ὑπερβαινόντων· ὄρειον γὰρ ὄρος ἐστὶ, εἰς ὃ οἱ ὅροι τῶν Βοιωτῶν ὡρίζοντο. [5]

15 19 Ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν : ὅτι οἱ ἐπιμόνως πρός τι σπουδάζοντες αὐτὸ καθορθῶσαι δυνήσονται. διαφέρει δὲ ἐντελέχεια ἐνδελεχείας· ἐνδελέχεια μὲν γάρ ἐστιν ἡ συνέχεια· ἐντελέχεια δὲ ἡ τελειότης καὶ τὸ εἶδος τοῦ ὑποκειμένου· τουτέστι, τὸ εἶδος τὸ ἐπιγινόμενον ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς τοιᾶσδε συνθέσεως τῶν στοιχείων τῆς ὕλης· ἤτοι τὸ ἀχώριστον εἶδος τοῦ σώματος. καὶ γὰρ ἐντελέχειά ἐστι τὸ εἶδος καὶ ἡ τελειότης τοῦ σώματος. λέγεται δὲ καὶ ἐντελέχεια τὸ κεχωρισμένον τοῦ σώματος, ὡς ὁ πλωτὴρ τοῦ πλοίου· ἥτις ἐντελέχεια ἔξωθέν τε οὖσα τάττει καὶ διακοσμεῖ καὶ τελειοῖ τὸ ὑποκείμενον. ὅταν οὖν ἐντελέχειαν λέγῃ τὴν ἄλογον καὶ φυσικὴν ψυχήν, τὸ ἀχώριστον εἶδος τῆς ἐντελεχείας λέγει· ὅταν δὲ τὴν λογικὴν ψυχὴν ἐντελέχειαν λέγῃ, τὸ κεχωρισμένον. Ῥάκος πολυσχιδὲς ἐργασάμενος , ἔξωσον : τουτέστιν, ἀπόθου παλαιὰ πράγματα.

15 21 Ῥαχίας λαλίστερος : ἐπὶ τῶν ἀδολέσχων· ταῖς γὰρ ῥαχίαις συνεχῶς εἰσβάλλοντα τὰ κύματα ψόφον ἀποτελοῦσι. Τὸ ρ μετὰ τοῦ ε.

15 22 Ῥεχθὲν δέ τε νήπιος ἔγνω : ἐπὶ τῶν ἀνοήτων. Ὁμήρου. Τὸ ρ μετὰ τοῦ η.

15 23 Ῥήματα ἀντὶ ἀλφίτων : ἐπὶ τοῦ προιεμένου φωνὰς μόνον. Ῥηγίνου δειλότερος : ἐπὶ τῶν καθ' ὑπερβολὴν δειλῶν.

15 24 καί· Δειλότερος τοῦ παρακύπτοντος · Ξέναρχος γὰρ ὁ Σώφρονος ἐκωμῴδει τοὺς Ῥηγίνους ὡς δειλοὺς ὑπὸ Διονύσου τοῦ τυράννου πεισθείς. Τὸ ρ μετὰ τοῦ ο.

15 25 Ῥοδίων χρησμός : ἐπὶ τῶν περιεργότερον πυνθανομένων. Ῥόδιοι γὰρ τῇ Λινδίᾳ Ἀθηνᾶ θύοντες καθ' ἑκάστην ἡμέραν ἐνδιετέλουν τῷ ναῷ εὐωχούμενοι· οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἀμίδα εἰσφέρειν· συγκαταινέσαντος δὲ πάλιν ἀνεπυνθάνοντο, χαλκῆν ἢ ὀστρακίνην; ὁ δὲ ὀργισθεὶς ἀπεφήνατο, μηδὲ ἑτέραν. Ῥόδον ἀνεμώνῃ συγκρίνεις : ἐπὶ τῶν ἀνόμοια συμβαλλόντων καὶ συγκρινόντων.

15 27 Ῥόδα μ ' εἴρηκας : ἀντὶ τοῦ, ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα ῥόδα ἐστί. Ῥόδον παρελθὼν μηκέτι ζήτει πάλιν : ἐπὶ τῶν κυδαινόντων τινάς, ἢ ἐπὶ τῶν μεταμελομένων περί τι καὶ μὴ δυναμένων τι ἀνύσαι.

15 29 Ῥόδιοι τὴν θυσίαν : ἐπὶ τῶν ἐν ἱεροῖς βλασφημούντων. Τὸ ρ μετὰ τοῦ ω.

15 30 Ῥωπικὸν ὤνιον : ἐπὶ τῶν εὐτελῶν πολοῦ πιπρασκομένων. Ἀρχὴ τοῦ ς στοιχείου.

15 31t Τὸ ς μετὰ τοῦ α. Σαλαμινία ναῦς : ἐπὶ τῶν ταχέων· δύο δὲ ἦσαν νῆες παρὰ τοῖς Ἀθηναίοις καὶ ὑπηρέτιδες ταχυδρόμοι, ἡ Πάραλος καὶ ἡ Σαλαμινία· ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐγκαλουμένους εἰς κρίσιν ἦγεν· ἣν καὶ ἐπὶ Ἀλκιβιάδην φησὶ πεμφθῆναι Θουκυδίδης· ἡ δὲ Πάραλος τὰς θεωρίας ἐπῆγε, τουτέστι, τὰ εἰς θεωρίαν πεμπόμενα.

15 32 Σαμίων ὁ δῆμος ὡς πολυγράμματος : ἤτοι μαστιγίας. ἐπὶ τῶν περιδείλων· Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους. οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ εἴκοσι τέσσαρα γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι· τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχίνου δι' Ἀθηναίου ἐπὶ ἄρχοντος Εὐκλείδου. τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ Ἐπικλέους· περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον γλευκισάμενοι. τῆς Σαμαίνης ἐστὶ πλοῖον δίκροτον, ὑπὸ Πολυκράτους πρῶτον κατασκευασθὲν τοῦ Σαμίου τυράννου, ὡς Λυσίμαχος. τὸ δὲ πλάσμα Δούριδος. οἱ δὲ τὴν σάμαιναν νόμισμα εἶναι. τάττεται δὲ ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν συμφοράς, παρόσον Ἀθηναῖοι τοὺς Σαμίους ἔστιξαν. Σαρδαναπάλου βίος : Καλλισθένης ἐν δευτέρᾳ τῶν Περσικῶν δύο φησὶ γεγονέναι Σαρδαναπάλους, ἕνα μὲν δραστήριον καὶ γενναῖον, ἄλλον δὲ μαλακόν· ἐν Νίνῳ δ' ἐπὶ τοῦ μνήματος αὐτοῦ τοῦτ' ἐπιγέγραπται· Σαρδανάπαλος ὁ Ἀνακυνδαράξου παῖς Ταρσόν τε καὶ Ἀγχιάλην ἔδειμεν ἡμέρῃ μιῇ.

15 33

σὺ δ’ ἔσθιε, πίνε, ὄχευε, ὡς τά γε ἄλλα οὐδὲ τούτου ἐστὶν ἄξια· τουτέστι, τοῦ τῶν δακτύλων ἐπικροτήματος· τὸ γὰρ ἐφεστὸς τῷ μνήματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται, ὥστ’ ἀνακροτεῖν τοῖς δακτύλοις. ταὐτὸν καὶ ἐν Ἀγχιάλῳ τῇ πρὸς Ταρσὸν ἐπιγέγραπται, ἥτις νῦν καλεῖται Ζεφύριον. Σάρωνος ναυτικώτερος : οὗτος ὁ Σάρων δαίμων ἦν ναυτικώτατος· ἐξ οὗ καὶ πέλαγος Σαρωνικὸν ἐπικέκληται.

15 34 ἔστι δὲ τῆς Παλαιστίνης· ᾧ πρόσκειται ἄλλαι τε πόλεις πολλαὶ, καὶ Ἰόπη καὶ Λύδα. Σαρδώνιος γέλως : ἐπὶ τῶν ἐπ’ ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων.

15 35 Καδήμων μὲν διαδοθῆναι, ὅτι οἱ Σαρδῶνα κατοικοῦντες αἰχμαλώτων τοὺς καλλίστους καὶ πρεσβυτέρους ὑπὲρ ἑβδομήκοντα ἔτη τῷ Κρόνῳ ἔθυον γελῶντας ἕνεκα τοῦ τὸ ἔπανδρον ἐμφῆναι, τουτέστιν ἀνδρεῖον. ἢ ὅτι σαρδώνιον βοτάνη ἐστὶ δηλητήριος, ἥτις ἅπαν τὸ σῶμα τοῦ φαγόντος αὐτὴν σπασμῷ ὑποβάλλει, ὡς καὶ τῶν χειλέων συσταλέντων γυμνοῦσθαι τοὺς ὀδόντας καὶ γέλωτος φαντασίαν παρέχειν τοῖς ὁρῶσιν· ὅθεν ἔνιοι ἐφ’ ὕβρει ὀνομάζουσι τὸν Σαρδώνιον γέλωτα. ἔστι δὲ καὶ λίθος οὕτω καλούμενος. Σαυτὸν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας ποτέ : Ἀστυδάμᾳ τῷ Μορσίμου εὐημερήσαντι ἐπὶ τραγῳδίας διδασκαλίᾳ Παρθενοπαίου δοθῆναι ὑπ’ Ἀθηναίων εἰκόνος ἀνάθεσιν ἐν θεάτρῳ.

15 36 τὸν δὲ εἰς αὑτὸν ἐπίγραμμα ποιῆσαι ἀλαζονικὸν τοῦτο· Εἴ θ ’ ἐγὼ ἐν κείνοις γενόμη ν , ἢ κεῖνοι ἅ μ ’ ἡμῖ ν , Οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν · Ὡς ἐ π ’ ἀληθείης ἐκρίθην ἀφεθεὶς παράμιλλος · Νῦν δὲ χρόνῳ προσέχου ς’ , οἷς φθόνος οὐχ ἕπετα ι . διὰ οὖν τὴν ὑπερβάλλουσαν ἀλαζονείαν παραιτήσασθαι τὴν ἐπιγραφήν. καὶ παροιμία παρὰ τοῖς κωμικοῖς ἐγένετο, ὡς παρὰ Φιλήμονι. Τὸ ς μετὰ τοῦ ε.

15 37 Σελίνου στέφανος πένθιμος : τὸ γὰρ σέλινον πένθεσι προσήκει, ὡς ἔφη Δοῦρις ἐν τῷ Περὶ ἀγώνων. Σειρὴν μὲν φίλον ἀγγέλλει , ξεῖνον δὲ μέλισσα : σειρὴν δὲ ζῷόν ἐστι κηροποιόν, μελίσσῃ παραπλήσιον.

15 38 οἱ δὲ μέλη τινά, ὧν ὁ ἀκούσας οὐ ζήσεται· ἃ καὶ Σειρήνια καὶ Σειρῆναι λέγονται. οἱ δὲ μυθεύονται γυναῖκάς τινας εὐφώνους γεγενῆσθαι, αἵτινες ἐν νησίῳ καθεζόμεναι οὕτως ἔτερπον τοὺς παραπλέοντας διὰ τῆς εὐφωνίας, ὥστε κατέχειν ἐκεῖ μέχρι θανάτου· εἶχον δὲ ἀπὸ μέν του θώρακος εἶδος στρουθῶν· τὰ δὲ κάτω, γυναικῶν. οἱ δὲ μηχανήματά τινα κατὰ γῆς μέλος ἄῤῥητον ἀναπέμποντα. Σεισάχθειά σοι μηδέποτε γένοιτο : τοῦτ’ ἔλεγον οἱ Ἀθηναῖοι πρὸς τοὺς ὀφείλοντας καὶ οὔπω τὸ δάνειον ἀποδόντας· λέγεται δὲ σεισάχθεια χρεοκοπία δημοσίων καὶ ἰδιωτικῶν, ἣν ἡγήσατο Σόλων.

15 39 εἴρηται δὲ παρόσον ἔθος ἦν Ἀθήνησι τοὺς ὀφείλοντας τῶν πενήτων σώματι ἐργάζεσθαι τοῖς χρήσταις· ἀποδόντας δὲ οἱονεὶ τὸ ἄχθος ἀποσείσασθαι, ὡς Φιλοχώρῳ δὲ δοκεῖ, ἀποψηφισθῆναι τὸ ἄχθος. Σεῖος ἀνήρ : Λάκωνες φασίν, ὅταν ἀγασθῶσι τινός.

15 41 Σεσέλλισαι κα τ ’ Αἰσχίνην : ἀντὶ τοῦ μάτην ἐπῆρσαι· ἀπ’ Αἰσχίνου τοῦ Σέλλου, ὃς ἦν κομπαστὴς καὶ ἀλαζὼν ἔν τε τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν. Λυκόφρων δ’ ἀπέδωκε τὸ σελλίζεσθαι ἀντὶ τοῦ ψελλίζεσθαι. Σὲ δ ’ οἰωνίσα τ ’ ἄν τις ἰδών : ἐπὶ τῶν εἰδεχθῶν· παρόσον οἱ παλαιοὶ οἰωνίζοντο ἐκ τοῦ συναντῆσαι πρώτῳ ἐν τῇ ὁδῷ εἰδεχθεῖ ἢ εὐειδεῖ καὶ σκοτενδύτῃ ἢ λευχειμονοῦντι.

15 43t Τὸ ς μετὰ τοῦ η. Σήπινον γερόντιον : ἐπὶ τῶν ἀσθενῶν.

15 44 Σήψει καὶ πέτρην ὁ πολὺς χρόνο ς , οὐδὲ σίδηρον φείδεται · ἀλλὰ μιῇ πάν τ ’ ὀλέκει δρεπάνῃ : ἐξ ἐπιγράμματος. Τὸ ς μετὰ τοῦ ι.

15 45

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σικελὸς ὀμφακίζεται : ἐπὶ τῶν διὰ μικρὰ ὑποπτευόμενα κέρδη μεγάλως βλαπτομένων· δύναται δὲ καὶ ἐπὶ τῶν τὰ ὡραιότερα ἐκλεγομένων τάσσεσθαι. Σίδηρον πλεῖν διδάσκει : ἐπὶ τῶν ἀδυνάτων.

15 47 Σικελὸς στρατιώτης : διότι ξένοις ἐχρῶντο ἀεί. Σικελικὴ τράπεζα : ἐπὶ τῶν ἄγαν τρυφηλῶν.

15 49 Σίλφιον Βάττου : ἐπὶ τῶν ἄγαν τιμωμένων· ἔστι βοτάνη πολύτιμος· ἡ δὲ αἰτία αὕτη· Βάττος, ὁ καὶ Ἀριστοτέλης, πόλιν ἐν Λιβύῃ Κυρήνην λεγομένην ἔκτισεν· οἱ δὲ Κυρηναῖοι βουλόμενοι ἀνταπόδοσιν τῆς εὐεργεσίας χαρίσασθαι τῷ βασιλεῖ ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ κλάδος καὶ ὁ ὀπὸς πολλῆς ἄξιος τιμῆς. Σινωπίζεις : ἀντὶ τοῦ ἀκολασταίνεις· τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην· ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ κατασχημονῆσαι, καθάπερ Ἄλεξις. [5]

15 51t Τὸ ς μετὰ τοῦ κ. Σκιὰ ἀντὶ τοῦ σώματος : ἐπὶ τῶν δοκούντων κρατεῖν τι, οὐδὲν δ' ὅμως κρατούντων.

15 52 Σκόπει μὴ τοὐμόν , ἀλλὰ καὶ τὸ σὸν φίλος : τοῦτ' ἔφη Τεῦκρος Ἀγαμέμνονι· ὀνειδιζόμενος γὰρ ὑπ' αὐτοῦ ὡς νόθος εἶναι τὸ γένος, ἀντωνείδιζε καὶ αὐτός, ὡς καὶ αὐτοῦ τὸ γένος τὸ πατρῷον ἔχοντος μαλακὸν ἀπὸ Κλεισθένους. Σκεδάσου κατάρα : ἐπὶ τῶν ἐπιτυχῶς καταρωμένων τισί. [5]

15 53 Σκέδασος γὰρ Λευκτραῖος ὢν εἶχε τρεῖς θυγατέρας· τινὲς δὲ τῶν Λακεδαιμονίων πάλαι παρ' αὐταῖς ἐπιξενωθέντες μίξει τὰς κόρας ἐνίβρυσαν· καὶ φοβηθέντες οἱ Λακεδαιμόνιοι, μή πως δημοσιεύσωσι τῷ οἰκείῳ πατρὶ τὴν ἀσέλγειαν, ἀναιροῦσιν αὐτάς· ἐπανελθὼν δὲ ἐν τῇ οἰκείᾳ πόλει τοῖς Λεύκτροις ὁ Σκέδασος καὶ μαθὼν τὸ γεγονὸς κατηράσατο πᾶσι Λακεδαιμονίοις, παρ' αὐτὸν τὸν τάφον τῶν θυγατέρων αὐτοῦ ἀτυχῆσαι· διὸ καὶ ἡ ἀτυχία ἔφθασεν ἐν Λεύκτροις τοὺς Λακεδαιμονίους. οἱ γὰρ Λακεδαιμόνιοι ἐν τῷ Πελοπονησιακῷ πολέμῳ μετὰ τὸ κατὰ κράτος νικῆσαι τοὺς Ἀθηναίους ἠβουλήθησαν καὶ τοὺς ἰδίους συμμάχους πολεμῆσαι. καὶ ὁρμήσαντες κατὰ Θηβαίων, πρὶν προσεγγύσαι τῇ πόλει, γενόμενοι ἐν Λεύκτροις· πόλις δὲ αὕτη Θηβῶν· συμβαλόντες ἠτύχησαν, Ἐπαμινώνδου στρατηγοῦ Θηβαίων εὐδοκιμήσαντος· καὶ οὕτως ἀπέβη ἡ κατάρα τοῦ Σκεδάσου, καὶ γέγονε τὸ πάθος τοῖς Λακεδαιμονίοις ἐν Λεύκτροις, ἔνθα ἔφθειραν καὶ ἀπέκτειναν τὰς θυγατέρας αὐτοῦ. Σκυθῶν ἐρημία : παρόσον οὐκ εἰσὶ γῆς ἐγκρατεῖς, ἀλλ' ἀεὶ φεύγουσι τὴν οἰκείαν. [15]

15 55 Σκορπίοις ὀκτάπουν ἀντεγείρεις : οἷον ἱκανὸν ἀμύνασθαι εἰς πληγὴν παροξύνεις. Σκάνδιξ : λάχανον ἄγριον· διὸ καὶ σκανδοπώλης ὁ Εὐριπίδ' ἦς.

15 57t Τὸ ς μετὰ τοῦ μ. Σμικρῷ ποδὶ μεγάλα περιτίθης ὑποδήματα : λέγεται ἐπὶ τῶν ῥητόρων μᾶλλον τῶν τὰ μικρὰ αὐξανόντων.

15 58t Τὸ ς μετὰ τοῦ ο. Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσί ᾳ .

15 59 Σοὶ μὲν κακῶς λέγειν , ἐμοὶ δὲ κακῶς ποιεῖν : Κλεομένους πρὸς τοὺς τῶν Ἀργείων λοιδοροῦντας αὐτὸν ὡς ἐπίορκον καὶ ἀσεβῆ. Τὸ ς μετὰ τοῦ π.

15 60 Σπάνιον εἴσαγε σὸν πόδα πρὸς σὸν φίλον, ἵνα μὴ πλησθείς σου μισήσῃ σε. Σπερμολόγος ὢν οὐ λανθάνεις : λέγεται ἐπὶ τῶν εὐτελῶν καὶ εὐκαταφρονήτων ἀνθρώπων· καὶ ἴσως ἀπὸ τῶν ἀλλοτρίων διαζώντων· ἔστι τι μικρὸν ὀρνιθάριον κολοιῶδες σπερμολόγος ὠνομασμένον· ἔοικε δὲ ἀπὸ τοῦ τὰ σπέρματα ἀναλέγειν· οὗ μνημονεύει καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν· ἐντεῦθεν οὖν ἡ παροιμία. [5]

15 62t Τὸ ς μετὰ τοῦ τ. Στελαγμὸς οἴνου μυρίοις χοεῦσιν ὕδατος οὐ μίγνυται : ἐπὶ τῶν διαλυομένων καὶ μεταβαλλομένων.

15 63 Στρατηγοῦ παρόντος πᾶσα ἀρχὴ παυσάσθ ω . Στύππινον γερόντιον : ἤτοι ἀσθενές.

15 65 Στέαρ γαλῇ : ἐπὶ τῶν οἷς χαίρουσι ταῦτα λαμβανόντων. Τὸ ς μετὰ τοῦ υ.

15 66 Συνεκποτέον ἐστί σοι καὶ τὴν τρύγα : ἐπὶ τοῦ ἀρξαμένου τινὸς πράγματος, εἶτα ὀλιγωρήσαντος. Σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰτεῖς : λέγεται κατὰ φιλαργύρων.

15 68 Σὺν τῷ κυνὶ καὶ τὸν ἱμάντα : ἐπὶ τῶν πάντα ἀπολωλεκότων. Σῦκον αἰτεῖς : ἐπὶ τῶν κολακευόντων· Ἀθηναῖοι γὰρ ἐκολάκευον τοὺς γεωργούς· οἱ δὲ πρὸς τούτους ἔλεγον ταῦτα.

15 70 Συρακουσίων τράπεζα : ἡ πολυτελής· ἐδόκουν γὰρ οἱ Συρακούσιοι ἁβροδίαιτοι εἶναι μᾶλλον πάντων. Σύροι πρὸς Φοίνικας : ἑκάτερα τὰ ἔθνη διαβέβληται ὡς πανοῦργα· ἢ ὅτι ἑκάστοτε δι’ ἔχθρας ἀλλήλοις ὄντα οὐδέποτε πιστῶς διαλλάττεται.

15 72 Σύλλου φιλία καὶ Μετέλλου τοῦ Πίου : ἐπὶ φίλων ἀκραιφνῶς καὶ ἀδόλως φιλούντων ἀλλήλους. Σύλλας γὰρ ὁ εὐτυχὴς ἀναγορευθεὶς τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο, τὴν Πίου Μετέλλου φιλίαν καὶ τὸ μὴ κατασκάψαι τὰς Ἀθήνας, ἀλλὰ φείσασθαι τῆς πόλεως. Συρβηνέων μύστης : ἀντὶ τοῦ ταραχώδης· ἀπὸ τῶν αὐλούντων μετὰ θορύβων· διὰ τὸ τὰς αὐλοθήκας καὶ φαρέτρας κενὰς εἶναι. [5]

15 73 καὶ, Συρβηνέων χορό ς , ὁ τεταραγμένος καὶ συώδης· ἀπὸ τῶν τοῖς ὑσὶν ἐπιφωνουμένων. Σὺ ἐν σεαυτῷ τὰ φάρμακα ἔχεις : ἐπὶ τῶν δι’ ὥραν ἐπισπωμένων τοὺς ἄνδρας ἐφ’ ἑαυτάς.

15 74 λέγεται καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν· Φίλιππος γὰρ ἤρα Θεσσαλῆς γυναικὸς αἰτίαν ἐχούσης καταφαρμακεύειν αὐτόν· ἐσπούδασεν οὖν ἡ Ὀλυμπιὰς λαβεῖν αὐτὴν ἄνθρωπον ὑποχείριον· ὡς δὲ εἰς ὄψιν ἐλθοῦσα τό τε εἶδος εὐπρεπὲς ἐφάνη καὶ διηλέχθη πρὸς αὐτὸν οὐκ ἀγεννῶς οὐδ’ ἀσυνέτως, χαιρέτωσα ν , εἶπεν ἡ Ὀλυμπίας, αἱ διαβολαί · σὺ γὰρ ἐν σεαυτῇ τὰ φάρμακα ἔχει ς . Συστομώτερος σκάφης : τάσσεται ἐπὶ τῶν διὰ τὸ ἀγεννὲς σιωπώντων, ἀπὸ τοῦ τοὺς μετοίκους Ἀθήνησιν ἐν ταῖς δημοτελέσι πομπαῖς σκάφας φέροντας πομπεύειν· καὶ ὁπότε δὲ ἐβούλοντο μέτοικον δηλῶσαι, ἢ σκάφην ἔλεγον ἢ σκαφηφόρον. [5]

15 75 διὰ δὲ τὸ ἀπαῤῥησίαστον εἶναι, συστομώτερον ποιήσειν ἀπειλεῖν σκάφης. Σύντομος ἡ πονηρία , βραδεῖα ἡ ἀρετή : παρόσον τὰ μὲν καλὰ δυσχερῆ, τὰ δὲ κακὰ πρόχειρα.

15 77 Συβαρῖται διὰ πλατείας : ἐπὶ τῶν σοβαρῶς πορευομένων. Συνῆλθον Ἀτταβὰς καὶ Νουμήνιος : ἐπὶ δύο κλεπτῶν τοῦτο.

15 79 Σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει : χρησμόν τις ἔλαβε, τὴν χεῖρα προσφέροντα θεὸν καλεῖ ν . Συγκρητισμὸν ἔχεις : εἴρηται ἐπὶ τῶν δι’ ἀνάγκην συμμάχων γινομένων ἀλλήλοις· οἱ Κρῆτες γὰρ καθ’ ἑαυτοὺς στασιάζοντες ὅτε στρατὸν ξενικὸν ἑώρων ἐπιστρατεύοντα τῇ ἑαυτῶν πατρίδι, συμμαχίαν καὶ ὁμαιχμίαν ἠσπάζοντο· ὅπερ συγκρητισμὸς ἐκλήθη. [5]

15 81 Συκίνη ἐπικουρία : ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελής· ἀπὸ μεταφορᾶς τῆς συκῆς· ἡ γὰρ συκῆ χαῦνον φυτόν ἐστι καὶ ἀνωφελῆ ξύλα ποιεῖ. Σύμβουλός ἐστιν ὁ χρόνος τῶν πραγμάτω ν .

15 83 Συγγνώμη πρωτοπείρῳ : ἐπὶ τῶν ἐν τοῖς πρώτοις ἁμαρτανόντων. Τὸ ς μετὰ τοῦ φ.

15 84 Σφάκελός σοι : ὁ διὰ τοῦ μέσου τῶν δακτύλων τῆς χειρὸς γενόμενος χλευασμός· σφάκελον δ’ ἔνιοι λέγουσι τὴν σῆψιν τῶν ὀστέων. Σφενδόνη Γύγου : ὁμοία τῇ· Κυνῇ Ἄϊδο ς .

15 85 ἐπὶ τῶν ἀφανῆ τινα καὶ ἀπόκρυφα ποιούντων. Πλάτων ὁ φιλόσοφος ἐν ταῖς πολιτείαις εἰσφέρει τὸν μῦθον τοῦτον οὕτω λέγων· ὅτι Γύγης ἦν τις ποιμὴν περὶ τὴν Λυδίαν· οὗτος ποιμαίνων ἔν τινι ὄρει τὰ πρόβατα περιέτυχε σπηλαίῳ τινί· καὶ εἰσελθὼν ἐν αὐτῷ εὗρεν ἵππον χαλκοῦν καὶ ἔνδον τοῦ χαλκοῦ ἵππου νεκρὸν ἄνθρωπον καὶ δακτύλιον· οὗ δακτυλίου ἡ κεφαλὴ στρεπτὴ ἦν καὶ ἐστρέφετο, ἣν καλοῦσι σφενδόνην. ἔλαβεν οὖν ὁ Γύγης τὸν δακτύλιον καὶ ἐξῆλθε. καὶ ἡνίκα μὲν ἦν ἐν τῇ τάξει ὁ δακτύλιος, ἑωρᾶτο ὑπὸ πάντων, ἡνίκα δὲ τὴν σφενδόνην τοῦ δακτυλίου ἔστρεφεν, ἀφανὴς ἐγίνετο πᾶσιν. Ὁ οὖν Πλάτων εἰσφέρει τὸν μῦθον τοῦτον, ὅτι φησίν, ὁ δίκαιος ἀνήρ, κἂν τοῦ Γύγου λάβῃ δακτύλιον, ἵνα μὴ ὁρᾶται ὑπό τινος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδ’ οὕτως ὤφειλεν ἀδικεῖν· δεῖ γὰρ τὸ καλὸν δι’ αὐτὸ τὸ ἀγαθὸν ἐπιτηδεύειν καὶ μὴ δι’ ἄλλον τινὰ τρόπον. Τὸ ς μετὰ τοῦ χ.

15 86 Σχοῖνον διατρώγειν : ἐπὶ τῶν καλλοπιζόντων ἑαυτούς· οἱ γὰρ τοιοῦτοι εἰώθασι σχοῖνον διατρώγειν ἕνεκα τοῦ λευκοὺς ὀδόντας ἔχειν· παρὸ καὶ τοὺς τοιούτους σχοινοτρώκτας ἐκάλουν. Τὸ ς μετὰ τοῦ ω.

15 87 Σώματος κάλλος ζωῶδες , ἢν μὴ νοῦς ὑπείη : ἀπόφθεγμα Δημοκράτους. Ἀρχὴ τοῦ τ στοιχείου.

15 88t Τὸ τ μετὰ τοῦ α. Τά δ ’ ἐκ τρίποδος : τίθεται ἐπὶ τῶν πάνυ ἀληθῶν.

15 88 Ἀριστοκλείᾳ γὰρ τῇ Πυθίᾳ γενομένῃ μιχθῆναι Πυθαγόραν τὸν ἀδελφὸν καὶ τῶν ὑπ’ αὐτῆς μαντευομένων παρασημειοῦσθαι ὡς ἐκ τρίποδος. Τὰ Νικησίου δρᾷ : ἐπὶ τῶν μαλακῶν· τοιοῦτος γὰρ ὁ Νικησίας ἦν.

15 90 Ταῦρος ὑπερκύψας τὸ Ταΰγετον ἀπὸ τοῦ Εὐρώτα ἔπιεν : ἐπὶ τῶν ἀδυνάτων· Γεράδας γάρ τις Σπαρτιάτης ἐρωτηθεὶς ὑπὸ ξένου τινός, εἰ πάσχουσι παρ’ αὐτοῖς οἱ μοιχοί, εἶπεν, ὦ ξεῖνε, οὐδεὶς γίνεται μοιχὸς παρ’ ἡμῖν. ἐκείνου δὲ ὑπολαβόντος, ἐὰν οὖν γένηται, ταῦρον, ἔφη ὁ Γεράδας, ἐκτίνει μέγαν, ὃς ὑπερκύψας τὸ Ταΰγετον ἀπὸ τοῦ Εὐρώτα πίεται· θαυμάσαντος δ’ ἐκείνου καὶ φήσαντος· πῶς δ’ ἂν γένοιτο βοῦς τηλικοῦτος; γελάσας ὁ Γεράδας, πῶς δ’ ἂν, ἔφη, ἐν Σπάρτῃ μοιχὸς γένοιτο; Τάδε Μῆδος οὐ φυλάξει : κατὰ τὴν τοῦ Ξέρξου ἔφοδον τοὺς Ἕλληνας ἀπειρηκότας τὰ ἑαυτῶν ἀναλίσκειν καὶ δαπανᾷν, ἐπιλέγοντας, Τάδε Μῆδος οὐ φυλάξε ι .

15 92 Τὰν χεῖρα ποτιφέροντα τὰν τύχαν καλεῖν : ὡς δέον ἐπικαλεῖσθαι τοὺς θεοὺς μετὰ τοῦ ἐγχειρεῖν τι καὶ πράττειν, ἄλλως δὲ μή. Τὰς μὲν κόρας ἄνδρας εὑρεῖν δεῖ , τὰς δὲ γυναῖκας σώζειν τοὺς ἔχοντας : Λάκων τοῦτ’ ἔφη ἐρωτηθείς· διὰ τί τὰς μὲν κόρας ἀκαλύπτους, τὰς δὲ γυναῖκας ἐγκεκαλυμμένας εἰς τοὐμφανὲς ἄγουσιν.

15 94 Ταινάριον κακόν : ἀντὶ τοῦ μέγα καὶ παράνομον εἰς ἱκέτας· οἱ γὰρ Λακεδαιμόνιοι καταφυγόντας τοὺς Εἵλωτας εἰς τὸ Ταίναρον ἀπέκτειναν. Τἀπὶ κοσκίνῳ : λεγόμενόν τι, οἷον τἀληθῆ πάντα.

15 96 Ταμίας ἀγαθός : ἐπὶ τῶν ἀκριβῶς φυλαττόντων τά τε ἴδια τά τε δημόσια· ταμίαι δὲ ἦσαν ἄρχοντες ἐν Ἀθήναις κληρωτοὶ ἀπὸ τῶν πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια ἐφύλαττον, ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς· ἦσαν δὲ καὶ ἄλλοι ταμίαι ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις, ὁ μὲν ἐπὶ τὴν πάραλον, ὁ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος. Τὰ ἐκ πρῴρας καὶ τὰ ἐκ πρύμνης ἀπόλλυται : ἐπὶ τῶν πανολεθρίᾳ φθειρομένων.

15 98 Τὰ μὲν ἐξ ἀρχῆς οὐ μέμνημα ι , τὰ δὲ μέσα οὐ συνίημι , τὰ δ ’ ἐπὶ πᾶσιν οὐ δοκιμάζω : ἐπὶ τῶν πολλὰ λεγόντων καὶ πάντα οὐδενὸς ἄξια· ὁμοία τῇ, Τὰ μὲν πρῶτα ἐπιλελάθαμε ς , τὰ δὲ ὕστερα οὐ συνήκαμες διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶσθα ι . Τὰ μέροπος δρᾷς : ἐπὶ τῶν τἀναντία πάντων ἢ δρώντων, ἢ λεγόντων ⋮ Ὁ γὰρ μέροψ τὸ ὄρνεον ἔμπαλιν, φασί, τοῖς ἄλλοις ἅπασι πέταται· τὰ μὲν γὰρ εἰς τοὔμπροσθεν ἵεται καὶ κατ’ ὀφθαλμούς, ὁ δὲ εἰς τοὐπίσω ⋮ Λέγεται καὶ τοῦτο περὶ αὐτοῦ· ὅτι οὐκ ἀναμένει γηράσαντας ἐκτρέφειν τοὺς πατέρας, ἀλλ’ ἅμα τῷ φῦσαι τὰ ὠκύπτερα τοῦτο ἐργάζεται.

15 100 Τὰ ἀπὸ Τ\u03bdαννάκου ταῦτα : ἐπὶ τῶν ἐπὶ παλαιότητι θαυμαζομένων. Τνάννακος γὰρ Φρυγῶν βασιλεὺς πρὸ τῶν Δευκαλίωνος χρόνων. Ταντάλου κῆπον τρυγᾷς : ἐπὶ τῶν μάταια ποιούντων· παρόσον σκιὰ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι.

16 2 Τά δ ’ οὐ παρὰ τοῖσι Κενταύροισι : λεγόμενόν τι ἦν· Τηλεκλείδῃ τισὶ τῶν δυναστῶν. Τἄλλα καὶ φιλώμεθα : καὶ τοῦτο λεγόμενον τί· οἷον, τἄλλα καὶ φίλοι ὦμεν.

16 3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τοῦτο δ’, οὔ φημι οὐδὲ συναινῶ. Τὰ ἐξ ἁμαξῶν : ἐπὶ τῶν ἀπερικαλύπτως σκωπτόντων· Ἀθήνησι γὰρ ἐν τῇ τῶν Χοῶν ἑορτῇ, οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας ἔσκωπτόν τε καὶ ἐλοιδόρουν· τὸ δ’ αὐτὸ καὶ τοῖς Ληναίοις ὕστερον ἐποίουν.

16 5 Ταὐτόν ἐστι χιλίων προβάτων κρατήσαντα πεντήκοντα λύκοις μάχεσθαι : ὅτι δεῖ κρατήσαντα μὴ αὖθις κινδυνεύειν. Τὰ ἐν χερσὶ κρατούμενα μείζονά ἐστι τῶν προσδοκωμένω ν .

16 7 Τὰ ἐν ποσὶ οὐκ οἶδεν : ἐπὶ τῶν ἀμαθῶν. Τὰ Μαγνήτων κακά : ἐπὶ τῶν μεγίστων καὶ ἀλγεινοτάτων κακῶν· παρόσον οὗτοι ἀσεβήσαντες εἰς θεοὺς μεγάλων κακῶν ἐπειράθησαν.

16 9 Ταντάλειοι τιμωρίαι : ἐπὶ τῶν ἀγαθὰ μὲν ἐπιτυχόντων, μὴ συγχωρουμένων δὲ ἀπολαύειν αὐτῶν. φασὶ γὰρ τοῦ Ταντάλου ἔμπροσθεν εἶναι παντοδαπὰ δένδρα· καὶ ἡνίκα ἂν τὴν χεῖρα ἐκτείνῃ λαβεῖν τι τῶν δένδρων, ἐκκλίνουσιν ἀπ’ αὐτοῦ· ἢ ὅτι πηγὴ πλήρης ὕδατός ἐστι καὶ ὑπὲρ κεφαλῆς λίθος μεγάλη κρέμαται· καὶ ἡνίκα ἂν κύψῃ τοῦ πιεῖν, πίπτει ἡ πέτρα καὶ οὐκ ἐᾷ αὐτὸν πιεῖν. καὶ τοῦτο ἀϊδίως. Τὰ σῦκα σῦκα λέγω , καὶ τὴν κάρδοπον : ἐπὶ τῶν τὰ ἀληθῆ λεγόντων ἀνεπιφθόνως. [5]

16 11 Τὰ πρῶ τ ’ ἀρίστους παῖδας Αἴγι ν ’ ἐκτρέφει : ἐν ἀκμῇ γὰρ μεταβάλλουσιν ἐπὶ τὸ χεῖρον οἱ Αἰγινῆται ἀπὸ Ἀχιλλέως, Πατρόκλου, Αἴαντος, Νεοπτολέμου. Τὰ πέρυσι ἀεὶ βελτίω : ἐπὶ τῶν κατόπιν ἐν ταῖς χερσὶ γινομένων· ταπεινούμενοι γὰρ οἱ Ἀθηναῖοι κατὰ τὰ Μακεδονικὰ ἐπεφώνουν τὸ τοιοῦτον.

16 13 Τὰ τῶν φόρων κρέττω : Ὑπερίδης ἐν τῷ κατὰ Εὐθηνογένους δευτέρῳ· παροιμία λεγομένη· πλείω δὲ φερόμενοι ὧν ἠδίκησαν. Τὰ Σαμίων ὑποπτεύεις : αὕτη λέγεται ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους αἰκισμοὺς παθεῖν, ἕνεκα προδοσίας· παρῆλθε δὲ ἀπὸ τῶν γινομένων ὑπὸ Ἀθηναίων εἰς Σαμίους αἰκισμῶν· ἑλόντες γὰρ αὐτοὺς οἱ Ἀθηναῖοι τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἔστιξαν τῇ καλουμένῃ σάμῃ, ἥ ἐστιν εἶδος πάθους Σαμιακοῦ· ἀνθ’ ὧν καὶ οἱ Σάμιοι τοὺς ἁλόντας μετὰ ταῦτα Ἀθηναίων ἔστιξαν. [5]

16 15 Ταρτησία μύραινα : ἐπ’ εὐμεγέθους· ὡς ἐκεῖ γενομένων μεγίστων. Τὰ Ταντάλου τάλαντα : πλούσιος ὁ Φρὺξ Τάνταλος διαβεβόητο, Πλουτοῦς καὶ Διὸς λεγόμενος· κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν τρίτῃ· γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα· ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται, Ταντάλου τάλαντα ταλαντίζετα ι . [5]

16 17 Τὰς δεσποίνας αἱ κύνες μιμούμεναι : λέγεται ὁπόταν καὶ οἱ ὑποχείριοι τοῖς ἄρχουσιν ἐπὶ κακῷ συμφωνῶσι. Τὰς ἐν ᾅδου τριακάδας : τιμᾶται ἡ τριακὰς ἐν ᾅδου διὰ τὴν Ἑκάτην· καὶ γὰρ Ἀθηνᾶ καὶ Ἄρτεμις καὶ Ἑκάτη ἓν εἶναι δοκοῦσι.

16 19 Τὰ γὰρ Γαδείρων οὐ περατά : ἐπὶ τῶν πορῥωτάτω καὶ ἀδυνάτων· τὰ δὲ Γάδειρά ἐστιν ἔξω τῆς καθ’ ἡμᾶς θαλάσσης περὶ τὸν ὠκεανόν, ὃν Ἄδρων ὁ Ἁλικαρνασεύς φησι γήμαντα Πομφολύγην καὶ Παρθενόπην, ἐκ μὲν Παρθενόπης σχεῖν Εὐρώπην, ἐκ δὲ Πομφολύγης Ἀσίαν καὶ Λιβύην· ὅθεν ὠνομάσθαι τὰς ἠπείρους. Τὰ τρία εἰς τὸν θάνατον : ὅτι ὁ μαντευόμενος ἐν Δελφοῖς σεσημασμένους ἐλάμβανε τοὺς χρησμούς, καὶ προείρητο αὐτῷ, εἰ λύσει, ζημία τῶν τριῶν. [5]

16 20 ἢ γὰρ τῶν ὀφθαλμῶν αὐτὸν ἔδει στερηθῆναι, ἢ τῆς χειρὸς ἢ τῆς γλώττης. ἄλλοι δὲ φασίν· ἐπὶ τῶν κατακρινομένων τῷ θανάτῳ προσεφέρετο τὰ τρία ταῦτα· ξίφος, βρόχος, κώνειον. Ταχυβάμονας ὅρκους : Ἀρίσταρχος κατὰ ἀντίφρασιν ἀκούει, ἀντὶ τοῦ βραδεῖς. [5]

16 21 βέλτιον δὲ τοὺς ἐν ἑτέρῳ τινὶ γενομένους νοεῖν· ἀβλαβεῖς γὰρ οἱ ἐπιορκήσαντες· ὅθεν καὶ παροιμία, Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμο ς . Ταυροπόλας Ἀρτέμιδος ταχύτερος : ὡς γὰρ ταῦρος περίεισι πάντα· οὕτως Ἀπολλόδωρος.

16 22 Ἴστρος δέ, ὅτι τὸν ὑπὸ Ποσειδῶνος ἐπιπεμφθέντα Ἱππολύτῳ ταῦρον ἔκτεινε· καὶ ἡ Ἀθηνᾶ δὲ ταυροπόλος ἐν Ἄνδρῳ. ὁ γὰρ Ἄνιος δοὺς ταῦρον τοῖς Ἀτρείδαις, ἐκέλευσεν, ὅπου ἂν ἐκ τῆς

νεὼς ἅληται ἱδρύσασθαι Ἀθηνᾶν· οὕτως εὐπλοήσειν. ὁ δ’ ἐν Ἄνδρῳ ἐξήλατο. Τὸ τ μετὰ τοῦ ε.

16 23 Τελενίκου πενέστερος : ὅθεν καὶ τὸ κενῶσαι τελενικῆσαι λέγουσιν οἱ Σερίφιοι ἀπὸ τούτου, ὡς τὸ εἰκός, πένητος παντελῶς· λέγεται καὶ Τελενίκιος ἠχὼ μεταφορικῶς. ἀπὸ τῶν ἀγγείων τῶν μὴ ἐχόντων ἔνδον τι. Τελμισσεῖς οἰκοῦσιν ἐν Καρίᾳ : ἀντὶ τοῦ δοῦλοι παροικοῦσι δούλοις καὶ πένησι πένητες· ἀπέχοντες στάδιον Ἁλικαρνάσου, ὡς Πολέμων.

16 24 Τελμισσὸς δὲ πόλις ἐν Λυκίᾳ ἀπὸ Τελμισσοῦ τοῦ Ἀπόλλωνος καὶ μιᾶς τῶν Ἀντήνορος θυγατέρων, ᾗ ἐμίγη εἰς κύλικα μεταβαλών. διὸ καὶ τερατοσκόπον αὐτὴν ἐποίησεν, ὡς Διονύσιος ἐν Κτίσεσι. Τενέδιος ἄνθρωπος : Κύκνον τὸν Ποσειδῶνος, γενόμενον πατέρα Ἡμιθέας καὶ Τέννου, ἐπιγῆμαι τούτοις καὶ κατηγορηθῆναι τὸν Τέννην ὑπὸ τῆς μητρυιᾶς ὡς πειρῶντα αὐτήν· πεισθέντα δὲ Κύκνον εἰς λάρνακα βαλεῖν τὸν νεανίαν.

16 25 ἑλομένης δὲ τῆς Ἡμιθέας συγκινδυνεύειν τῷ ἀδελφῷ, ἑκατέρους κατεπόντωσεν· ἡ δὲ λάρναξ ἐπὶ τὴν πρότερον καλουμένην Λευκοφόρον ἠνέχθη, ὕστερον δὲ Τένεδον ἀπ’ ἐκείνου· ὃς καὶ βασιλεύσας τῆς νήσου ἐνομοθέτησε τοῖς τὰ ψευδῆ κατηγοροῦσιν ὄπισθεν παρεστάναι τὸν δήμιον πέλεκυν ἐπηρμένον, ὡς ἐλεγχθέντας παραχρῆμα ἀναιρεῖσθαι· ἀπὸ δὲ τοῦ φοβεροῦ θεάματος ἐκείνου λέγεσθαι Τενέδιος ἄνθρωπο ς . εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις. Τενέδιος συνήγορος : ἀντὶ τοῦ ἀπότομος· δύο γὰρ πελέκυς ἐν ἀναθήμασι τιμῶσι Τενέδιοι· καὶ παροιμία, Τενέδιος πέλεκυ ς .

16 26 Ἀριστοτέλης μέντοι, ὅτι βασιλεὺς Τενέδιος μετὰ πελέκεως δικάζων τοὺς ἀδικοῦντας εὐθέως ἀνῄρει. ἢ ὅτι Ἀσερίνα τόπος ἐν Τενέδῳ, ἔνθα ποταμίσκος, ἐν ᾧ καρκίνοι τὰ χελώνια διηρθρωμένα ἔχοντες ἐπὶ πλοῖον καὶ πελέκει. τοὺς μοιχοὺς ἄμφω καρατομεῖν καὶ ἐπὶ τοῦ υἱοῦ ἐτήρησε τοῦτο. καθ’ ὃ καὶ ἐν τῷ νομίσματι ἐφ’ οὗ μὲν πέλεκυς, ἐφ’ οὗ δὲ δύο πρόσωπα ἐξ ἑνὸς αὐχένος. οἱ δ’ ὅτι γεννῆσαι ἃ ἔπαθεν ὑπὸ τῆς μητρυιᾶς, μετὰ πελέκεως τὰς φονικὰς ἔκρινε δίκας. Τερεβίνθου ἀνοητότερος : ἐπὶ τῶν μωρῶν καὶ ἀναισθήτων· ἔστι δὲ τερέβινθος ὁ δρῦς.

16 28 Τερμέρια κακά : τὰ μεγάλα· τερμία γὰρ ἡ ἡμέρα, ἐφ’ ἧς μέλλει τὸ τέρμα τοῦ βίου εὑρήσειν. Τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι οὔ τ ’ ἐστὶν οὔτε μήποτε γένοιτο : ἐξ ἀποφθέγματος.

16 30 Τέρμα δ ’ ὁρᾶν βιότοιο, Σόλων ἱεραῖς ἐν Ἀθήναις. Τερθρείᾳ συζῇς : ἀντὶ τοῦ φλυαρίᾳ· οἱ δέ φασι λεπτολογίᾳ· ἔστι γάρ τι σχοινίον ἐν τοῖς πλοίοις λεπτόν, ὃ καλεῖται τέρθριον· φασὶ δέ τινες τὰ ἄνω τρημάτια τοῦ ἐπὶ τοῦ ἱστοῦ ὀργάνου, ἀφ’ οὗ ἤρτηται τοῦ ἱστοῦ ἡ κεραία.

16 31 οἱ δὲ ὅτι ἔθος ἦν τοὺς ἐφήβους μετὰ τὸ γενέσθαι περιπόλους τῆς χώρας στρατεύεσθαι μέν, εἰ συμβαίη πόλεμος, μὴ μέντοι μετὰ τῶν ἄλλων, ἀλλ’ ἰδίᾳ ἐν μέρεσι τοῖς ἀκινδύνοις τῆς μάχης. διὸ τὴν στρατιὰν καλεῖσθαι τὴν ἐν τοῖς μέρεσι· σημαίνει δὲ τὴν ἀπάτην καὶ περιεργείαν. Τέττιγα τοῦ πτεροῦ ξυνείληφας : ἐπὶ τῶν τὰ στόματα τῶν ἀθυρογλώσσων πυλούντων.

16 33 Τέττιξ ἀκάνθιος : ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων· οὐκ ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες. Τετράδι γέγονας : ἐπὶ τῶν ἄλλως πονούντων· καὶ γὰρ τὸν Ἡρακλέα τετράδι γεννηθέντα Εὐρυσθεῖ προσταλαιπωρῆσαι.

16 34 Φιλόχορος δὲ αὐτὴν ἐπὶ Ἑρμοῦ δύνασθαι λέγεσθαι. διατεθεῖσθαι δὲ Ἡρακλεῖ τὴν ἡμέραν ἐν ταύτῃ εἰς θεοὺς μεταστάντι. Τεττάρων ὀβολῶν ἄξιος : ὁμοία τῇ ταρτημορίου ἄξιος · ἤτοι διχάλκου· ἐπὶ τῶν οὐ πολλῆς τιμῆς ἀξίων.

16 36 Τέττιγος τρόπον : ἐπὶ τῶν ποιούντων ἃ μὴ ὠφελοῦσιν αὐτούς, ἐώντων δὲ τὰ ὠφελοῦντα ⁝ Ἐγὼ δὲ εἶδον καὶ τέττιγας εἴροντάς τινας καὶ πιπράσκοντας ἐπὶ δεῖπνον· τὸ γάρ τοι ζῷον τὸ πάμβορον τοῦτο οὐδὲ ὑμῶν φείδεται, ἀλλὰ καὶ ὑμᾶς ταρίχους ἐργάζεσθαι τολμῶσι καὶ ἐσθίειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑμῶν τῶν τεττίγων ἀφειδῶς ἔχουσι καὶ λελήθασιν ἑαυτοὺς ταῖς Μούσαις ταῖς Διὸς θυγατράσι ταῦτα ἄπο θυμοῦ δρῶντες. Τέττιγος εὐφωνότερος : ἐπὶ τῶν μελῳδούντων.

16 38 Τεττιγοφόρος εἶ : οἱ Ἀθηναῖοι τέττιγας ἐφόρουν χρυσοῦς, σύμβολον τοῦ γηγενεῖς εἶναι ἢ μουσικούς. Τεττίγων ἀνάμεστοι : μωροὺς τοὺς τέττιγας παρέλαβεν Ἀριστοφάνης, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, τεκμήριον ὅτι αὐτόχθονες οἱ Ἀθηναῖοι ὡς οἱ τέττιγες ⁝ Ψυχροί τινες τὴν φύσιν οἱ τέττιγες· διὸ μετὰ θερινὰς τροπὰς ἀπάρχονται τῆς ᾠδῆς, καὶ ἡλίου ἀπερχομένου τὸν ἑαυτῶν μεθιάσι κέλαδον ὥστε μεσημβρίας εἰσὶν ᾠδικώτεροι· τέττιξ γοῦν θήλεια, κατὰ πολὺ ψυχροτέρα τοῦ ἄῤῥενος, καὶ φύσις αὐτῇ τὴν σιωπὴν ἐγκελεύεται, ἐπίτασιν ἐντιθεῖσα ψυχρότητος· διὸ κώτιλλος τέττιξ οὐκ ἔνεστι θήλεια, ἀλλ᾽ οἷά τις Θεανὼ σιωπῶσα τὰ ἄῤῥητα.

16 40 Τευτάζειν βούλει τὸν ἄνθρωπον : ἀντὶ τοῦ σκευωρεῖσθαι. ὁ δὲ Πλάτων ἀντὶ τοῦ πραγματεύεσθαι· οἱ δὲ ἀντὶ τοῦ στρατεύεσθαι καὶ πολὺ διατρίβειν· Δίδυμος δὲ ἀντὶ τοῦ φροντίζειν· Λυκόφρων ἀντὶ τοῦ ἐπιστρεφῶς τι πράττειν ἐκλαμβάνει. σημαίνει καὶ τὸ σπουδάζειν καὶ ἡσυχάζειν. Τέφραν φεύγων εἰς ἀνθρακιὰν ἔπεσεν : ἐπὶ τῶν ἀπὸ ἡττόνων χείροσι περιπεσόντων κακοῖς.

16 42 Τευμησία ἀλώπηξ καὶ κύων : περὶ τῆς Τευμησίας ἀλώπεκος οἱ τὰ Θηβαϊκὰ γεγραφότες ἱκανῶς ἱστορήκασι, καθάπερ Χρηστόδημος· ἐπιπεμφθῆναι μὲν γὰρ ὑπὸ θεῶν τὸ θηρίον τοῦτο τοῖς Καδμείοις, διότι τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ Κάδμου γεγονότας. Κέφαλον δέ φασι τὸν Δηΐνος, Ἀθηναῖον ὄντα καὶ κύνα κεκτημένον, ὃν οὐδὲν διέφευγε τῶν θηρίων· ὃς ἀπέκτεινεν. ἄκων τὴν ἑαυτοῦ γυναῖκα Πρόκριν, καθηράντων αὐτὸν τῶν Καδμείων· διώκειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός· καταλαμβανομένους δὲ περὶ τὸ Τευμισὸν λίθους γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκα. Τείχη Σεμυράμιδος : καί· Τείχη Ἱεριχούντια : ἐπὶ τῶν ἀσφαλῶν καὶ δυσαλώτων ἢ θαυμαστῶν.

16 44t Τὸ τ μετὰ τοῦ η. Τὴν Ἀκεσαίου σελήνην : ἐπὶ τῶν διαμενόντων καὶ βραδυνόντων· ἦν δὲ Νηλέως κυβερνήτης ὁ Ἀκεσαῖος.

16 45 Τὴν παρεοῦσαν ἄμελγε · τί τὸν φεύγοντα διώκει ς ; Τὴν χεῖ ρ ᾽ ἐπιβάλλει : ἐπὶ τῶν μετεχόντων ἀρίστων καλῶν· ἔθος γὰρ εἶχόν τινες ἄλλων θυόντων συνεφάπτεσθαι τῆς θυσίας καὶ κοινωνεῖν· καὶ Αἰσχίνης δὲ ἔφη· Γινώσκειν ὥσπερ τοὺς ἐφαπτομένους τῶν ἱερῶ ν .

16 47 Τὴν ἐξούλης δίκην φεύγεις : οἱ δίκῃ νικήσαντες, ὥστε ἀπολαβεῖν τι χωρίον ἢ ἀγρὸν ἤ τι τοιοῦτον καὶ μὴ ἐώμενοι, ἀνέτρεχον εἰς δικαστήριον αὖθις καὶ εἰσῆγον δίκην, ἥτις ἐκαλεῖτο ἐξούλη. ἐξέλλειν γὰρ οἱ παλαιοὶ τὸ ἀπελαύνειν καὶ κωλύειν ἔλεγον. οἱ δὲ ἀπὸ τοῦ ἐξεῖναι τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων. Τὴν θύραν ἔχειν τετριμμένην ὥσπερ αἱ ποῖμναι : ἐπὶ τοῦ ἀπανθρώπου καὶ ἀπροσπελάστου.

16 49 Τὴν Χάρυβδιν ἐκφυγὼν , τῇ Σκύλῃ περιέπεσον : ὁμοία τῇ· Ἔφυγον κακὸν εὗρον ἄμεινον ⁝ Λέγουσι περὶ Σκύλης ὡς ἦν Τυῤῥηνία, θηρίον τι, γυνὴ μὲν μέχρι τοῦ ὀμφαλοῦ, κυνῶν δὲ ἐντεῦθεν αὐτῇ προσπεφύκασι κεφαλαί· τὸ δ᾽ ἄλλο σῶμα ὄφεως. τοιαύτην δὲ φύσιν ἐννοεῖν πολὺ εὔηθες· ἡ δὲ ἀλήθεια αὕτη· Τυῤῥηνίων νῆσοι ἦσαν, αἳ ἐληΐζοντο τὰ περίχωρα τῆς Σικελίας καὶ τὸν Ἰόνιον κόλπον· ἦν δὲ ναῦς τριήρης ταχεῖα τό τε ὄνομα Σκύλα· αὕτη ἡ τριήρης τὰ λοιπὰ τῶν πλοίων συλλαμβάνουσα πολλάκις εἰργάζετο βρῶμα, καὶ λόγος ἦν περὶ αὐτῆς πολύς· ταύτην τὴν ναῦν Ὀδυσσεὺς σφοδρῷ καὶ λαύρῳ πνεύματι χρησάμενος διέφυγε, διηγήσατο δὲ ἐν Κερκύρᾳ τῷ Ἀλκινόῳ, πῶς ἐδιώχθη καὶ πῶς ἐξέφυγε, καὶ τὴν ἰδέαν τοῦ πλοίου· ἀφ᾽ ὧν προσανεπλάσθη ὁ μῦθος. Τὴν ἀρχὴν οὐ δυνήσῃ τῷ τέλει συνάψαι : ὁ μὲν Ἀλκμαίων τοῦτ᾽ ἔφη, τὸ τοὺς ἀνθρώπους ἀπόλλυσθαι μὴ δυναμένους τὴν ἀρχὴν τῆς ζωῆς τῷ τέλει προσάψαι· κύκλος γὰρ ἂν ἦν· ἐγὼ δ᾽ ἐπὶ τῶν ἡμιτελῆ ἢ ἀτελῆ ἔργα ποιούντων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

16 51 Τὴν ἡμέραν πᾶσαν σήθ η , ὃς οὐ βούλεται ζυμῶσα ι . Τὴν λεοντῆν ἐνδύου : ἴσον τῷ γεννιάζου.

16 53 Τὴν ἅλμην κυκᾷς , πρὶν τοὺς ἰχθύας ἑλεῖν : ἐπὶ τῶν πρὸ πολλοῦ παρασκευαζομένων. Τῆς μητρὸς ὡς αἲξ καλεῖται : οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπωλίοις ἀπὸ τῶν μητέρων γνωρίζονται· ἀπὸ πατέρων γὰρ ἀδύνατον.

16 55 Τὴν κα θ ’ ἑαυτὸν ἔλαυνε : ἀντὶ τοῦ ἴσαις ὁμίλει. τὶς γὰρ Πιττακὸν ἤρετο βιαζόμενος ὑπὸ δυὸ γυναικῶν, τῆς μιᾶς οὔσης πλουσίας καὶ ὑπὲρ αὐτόν, τῆς δὲ γένους ἀξίας, καὶ ἀπορῶν ποίας κληθείη ἀνὴρ, ἤρετο ποίᾳ γυναικὶ χρήσαιτο, τοῦ δὲ εἰπόντος, μέτει πρὸς τοὺς παῖδας τοὺς πλησίον ἡμῶν τοὺς βέμβηκας παίζοντας, ὅ ἐστιν οἱ στρόμβοι, καὶ παρ’ αὐτῶν μαθήσῃ, ποίᾳ ἂν χρήσαιο γυναικί· ἀπελθὼν ἐκεῖνος ἠκροάσατο τῶν παίδων λεγόντων πρὸς ἀλλήλους, τὴν καθ’ ἑαυτὸν ἔλαυνε· καὶ αἰσθόμενος τοῦ λόγου τὴν μὲν πλουσιωτέραν ἀφῆκε, τῇ δὲ πενεστέρᾳ ἐχρήσατο γυναικὶ τῇ καὶ τοῦ γένους ἀξίᾳ. Τῆς Ὀρφέως ἀπόζεις κιθάρας ἐν τῷ λέγειν : ὁ Ὀρφεὺς γέγονε μουσικὸς Θρᾷξ τὸ γένος, ὃς λέγεται ὅτι οὕτως προσηνῶς ᾖδεν, ὥστε ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ τὰς δρῦς καὶ τῶν ζῴων τὰ ἄλογα καὶ τοὺς λίθους καὶ τοὺς ποταμούς.

16 56 τοῦτο δὲ ψευδὲς καὶ μῦθος· δοκεῖ δέ μοι ταῦτα εἶναι. Βάκχαι μανεῖσαι πρόβατα διέσπασαν ἐν τῇ Πιερίᾳ, πολλὰ δὲ καὶ ἄλλα βιαίως εἰργάζοντο, τρεπόμεναί τε εἰς τὸ ὄρος διέτριβον ἐκεῖ τὰς ἡμέρας, ὡς δὲ ἔμειναν, οἱ πολῖται δεδιότες περὶ τῶν γυναικῶν καὶ θυγατέρων, μεταπεμψάμεναι τὸν Ὀρφέα ἐδέοντο μηχανᾶσθαι ὃν τρόπον καταγάγοι αὐτὰς ἐκ τοῦ ὄρους· ὁ δὲ συνταξάμενος τῷ Διονύσῳ ὄργια κατάγει αὐτὰς βακχευούσας κιθαρίζων· αἱ δὲ νάρθηκας τότε πρῶτον ἔχουσαι κατέβαινον ἐκ τοῦ ὄρους καὶ κλῶνας δένδρων παντοδαπῶν· τοῖς δ’ ἀνθρώποις θαυμαστὰ τότε θεασαμένοις ἐνεφαίνετο πρῶτον τὰ ξύλα καταγόμενα, καὶ ἔφασαν, Ὀρφεὺς κιθαρίζων ἄγει τὴν ὕλην ἐκ τοῦ ὄρους· καὶ ἐκ τούτου ὁ μῦθος ἀνεπλάσθη. Τὸ τ μετὰ τοῦ ι.

16 57 Τιθωνοῦ γῆρας : ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται· ἱστορεῖται γάρ, ὅτι Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλλε. Τιτᾶνας καλεῖν : ἐπὶ τῶν κεκραγότων τινὰς εἰς βοήθειαν.

16 59 Τίς ἐν Κύδωνος : ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους ἀπὸ Κύδωνος Κορινθίου φιλοξένως διατεθέντος. Τί πρὸς τὸν Ἑρμῆν : ἀντὶ τοῦ πρὸς τὸν λόγον.

16 61 Τίς πατέ ρ ’ αἰνήσει , εἰ μὴ κακοδαίμονα τέκνα : ἴσως ἐπὶ τῶν προγονικὰ ἀνδραγαθήματα ἀπορίᾳ ἰδίων προφερόντων. Τιμὴ Γεράνης : ἐπὶ τῶν παρ’ ἀξίαν τιμωμένων ⁝ Παρὰ τῷ τῶν Πυγμαίων ἔθνει ἐκλιπόντος ποτὲ τοῦ γένους τῶν ἀῤῥένων βασιλέων ἐκράτησέ τις βασιλὶς Γεράνα ὄνομα· ἥνπερ οὖν καὶ ἐκθειοῦντες οἱ Πυγμαῖοι σεμνοτέραις ἢ κατ’ ἄνθρωπον ἐτίμων τιμαῖς· ἐκ τούτων οὖν ἐκείνη τὴν διάνοιαν ἐξηνεμώθη, καὶ Ἥραν καὶ Ἀφροδίτην καὶ Ἀθηνᾶν οὐδὲ ἴκταρ ἔλεγε βάλλειν πρὸς τὸ αὐτῆς κάλλος.

16 62 οὐκοῦν κατὰ χόλον Ἥρας εἰς ὄρνιν αἰσχίνην τὸ εἶδος τὸ ἐξ ἀρχῆς ἤμειψε, καὶ ἔτι νῦν ἡ γέρανος πολεμεῖ τοῖς Πυγμαίοις, ὅτι αὐτὴν ἐξέμηναν τῇ πέρα τιμῇ καὶ ἀπώλεσαν. Τίς τρίχας ἂν τ ’ ἐρίων ἐποκίξατο : Θεόκριτος.

16 63 ἐπὶ τῶν ἀνοήτων. Τιτανῶδες βλέπει : καταπληκτικόν, φοβερόν.

16 65 Τίκτει κόρος ὅταν κακῷ ἀνδρὶ παρείη : ἐπὶ τῶν ἐν εὐτυχίαις ἐπαιρομένων. Τίς ἂν θύρας ἁμάρτοι : ἐπὶ τῶν ῥᾳδίων.

16 67 Τίς τῇδε : οἱ σπένδοντες ἔλεγον, τίς τῇδ ε ; ἀντὶ τοῦ, τίς πάρεστιν; οἱ δὲ παρόντες ἐπευφημούμενοι ἔλεγον· πολλοὶ κἀγαθο ί . τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα συνειδότες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑαυτοῖς τὶ ἄτοπον συγχωροῖεν τῶν σπονδῶν. Τίς ἀνάγκη σαπραγόρ ᾳ ; προίξ : ἐπὶ τῶν τὰ μὴ πρέποντα αὐτοῖς ζητούντων.

16 69 Τιτανίδα παροικεῖς : ἐπὶ τῶν φιλοθέων· οἱ μὲν τὴν πᾶσαν γῆν, οἱ δὲ τὴν Ἀττικὴν φασίν, ἀπὸ Τιτηνίου, ἑνὸς τῶν Τιτάνων ἀρχαιοτέρου, οἰκήσαντος περὶ Μαραθῶνα, ὃς μόνος οὐκ ἐστράτευσεν ἐπὶ τοὺς θεούς, ὡς Φιλόχορος ἐν τραπόλει καὶ Ἴστρος ἐν πρώτῃ Ἀττικῶν. Τίθει παρὰ χρυσοῦν κεραμεοῦν ποτήριον : ὅτι τὸν εὐτυχήσαντα δεῖ μεμνῆσθαι τῶν ὅτε ἦν ἐν πενίᾳ· καὶ γὰρ Ἀγαθοκλῆς, υἱὸς κεραμέως, γενόμενος δὲ κύριος Σικελίας καὶ βασιλεὺς ἀναγορευθείς, εἰώθει κεράμεα ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ.

16 70 καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, ὅτι τοιαῦτα ποιῶν πρότερον νῦν ταῦτα ποιεῖ διὰ τὴν ἀμέλειαν καὶ ἀνανδρίαν. Τί τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνετε : ἐπὶ τῶν μὴ δοκιμαζόντων τὰ πράγματα ἀκριβῶς, ἀλλ’ ὡς ἐκεῖνοι βούλονται.

16 72 Τί οὐκ ἀπήγξω , ἵνα Θήβῃσιν ἥρως γένῃ : οἱ γὰρ ἐν Θήβαις ἑαυτοὺς διαχειρισάμενοι πολλῆς τιμῆς ἠξιοῦντο. Τί μικρῶν πέρι μεγάλα φροιμιάζῃ : ἐπὶ τῶν μακρολογούντων.

16 74 Τίς χρεία πυθομένου κρομμύου : ἐπὶ τῶν ἀχρήστων. Τίς οὐ γενήσῃ τυγχάνων εἰς Ἀρβέλας : Ἀρβέλαι πόλις Σικελική.

16 75 εὐεξαπάτητοι δὲ οἱ ἐνοικοῦντες ἐκεῖσε ἐδόκουν εἶναι. Τιτυοῦ σε περιμένει καὶ Ἰξίονος κολαστήρια : ὁ Τιτυὸς ἠράσθη τῆς Λητοῦς καὶ ἐρασθεὶς ἐκράτησεν αὐτὴν ἀπὸ τοῦ κρηδέμνου· εἶτα Ἄρτεμις καὶ Ἀπόλλων παῖδες ὄντες τῆς Λητοῦς κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον· καὶ νῦν φασιν ἐν τῷ Ἅιδῃ ἔχει τὰ βέλη ἐμπεπαρμένα καὶ κολάζεται ἐκ τούτου.

16 76 Ὁ δὲ Ἰξίων ἠράσθη τῆς Ἥρας· ἡ Ἥρα προσαγγέλλει τῷ Διί· ὁ δὲ Ζεὺς βουληθεὶς γνῶναι, εἰ ὄντως ἐρᾷ αὐτῆς, ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ καὶ ἔστησεν. Ὁ δὲ Ἰξίων νομίσας αὐτὴν εἶναι τὴν Ἥραν συμμίγνυται αὐτῇ τῇ νεφέλῃ· καὶ ὀργισθεὶς ὁ Ζεὺς κολάζει αὐτὸν οὕτως· τροχῷ διατείνας αὐτὸν ἐποίησεν ἀεὶ φέρεσθαι τὸν τροχόν, καὶ ἔστιν ἀεὶ οὕτως ἀνακυκλούμενος καὶ καταφερόμενος ταύτην τίνων τὴν τιμωρίαν. Τὸ τ μετὰ τοῦ ο.

16 77 Τὸ Μηλιακὸν πλοῖον : ἐπὶ τῶν ἄγαν εἰσρεόντων καὶ εἰσιόντων. φησὶν Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι, μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτέ, καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί. Τὸν ἀγαθὸν μυθητὰν δεῖν τοῖς πράγμασιν ἶσον τὸν λόγον ἔχειν : Λακεδαιμόνιοι Κηφισοφῶντα εἰπόντα περὶ τοῦ τυχόντος δύνασθαι ὅλην τὴν ἡμέραν λέγειν ἐξέβαλον, φάμενοι τοῦτο τἀπόφθεγμα.

16 79 Τοῦ πατρός ἐστι τὸ παιδίον : ἐπὶ τῶν πατρῳζόντων εἴς τινας ἐπιτηδειότητας. Τὸ μέλλον οὐδεὶς ἐκφύγοι : ὅτι δ’ ἀληθὲς, ἔκ τε ἄλλων κἀντεῦθεν δῆλον ⋮ Βαβυλωνίων βασιλεύοντος Εὐηχόρου, Χαλδαῖοι λέγουσι τὸν γενόμενον ἐκ τῆς ἐκείνου θυγατρὸς τὴν βασιλείαν ἀφαιρήσεσθαι τὸν πάππον· τοῦτο ἐκεῖνος πέφρικε, καί, ἵνα τι καὶ ὑποπαίξας εἴπω, Ἀκρίσιος γίνεται εἰς τὴν παῖδα· ἐφρούρει γὰρ πικρότατα.

16 80 λάθρα δὲ ἡ παῖς, ἦν γὰρ τοῦ Βαβυλωνίου σοφώτερον τὸ χρεών, τίκτει ὑποπλησθεῖσα ἔκ τινος ἀνδρὸς ἀφανοῦς· τοῦτο οἱ φυλάσσοντες δέει τοῦ βασιλέως ἔῤῥιψαν ἐκ τῆς ἀκροπόλεως· ἀετὸς δὲ τὴν ἔτι τοῦ παιδὸς καταφορὰν ὀξύτατα ἰδών, πρὶν ἢ τῇ γῇ προσαραχθῆναι τὸ βρέφος, ὑπελθὼν αὐτὸ κατὰ νῶτα ὑπέλαβε, καὶ κομίζει εἰς κῆπον τινά· ὁ τοίνυν τοῦ κήπου μελεδωνὸς καλὸν παιδίον θεασάμενος ἐρᾷ αὐτοῦ καὶ τρέφει, καὶ καλεῖται Γίγαλμος καὶ βασιλεύει Βαβυλωνίων. Τοῦτο τὸ ὑπόδημα ἔῤῥαψε μὲν Ἱστιαῖος , ἐπεδήσατο δὲ Ἀρισταγόρας : ἐπὶ τῶν σκευωρούντων καὶ συῤῥαπτόντων μηχανὰς κλεπτιστάτας ⋮ Ἱστιαῖο ς , Σάμιος μὲν ἦν τὸ γένος, φίλος δὲ γενόμενος Δαρείου τοῦ Περσῶν βασιλέως, ἐλύθη ὑπ’ αὐτοῦ ἐν Περσίδι· ἐκεῖ δὲ διαιτώμενος ἐπεθύμει ἰδεῖν τὴν οἰκείαν πατρίδα· μὴ ἀπολυόμενος δὲ γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀρισταγόρᾳ μελετῆσαι ἀπόστασιν· καὶ πείθει καί τινας τῶν Ἰώνων ἀποστῆναι· πράττει δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτως· λαβὼν πιστὸν οἰκέτην καὶ τούτου τὴν κεφαλὴν ξυρήσας ἐγχαράττει τῇ κεφαλῇ, ὃ ἠβούλετο δηλῶσαι· εἶτα μέλανι ἐγκαυτῷ τὴν χάραξιν μελαίνει, καὶ ἀφῆκεν ἀνενεγκεῖν τὰς τρίχας· καὶ μετὰ τὸ κομάσαι αὐτὸν ἀποπέμπει, λέγων τῷ οἰκέτῃ, πάλιν ἐκεῖσε ἀποξυρηθῆναι, ἵνα ἀναγνῷ Ἀρισταγόρας τὰ γράμματα.

16 81 ἀναγνοὺς τοίνυν ὁ Ἀρισταγόρας καὶ μαθὼν ἐποίησε τὴν ἀπόστασιν σχεδὸν πάντων τῶν Ἰώνων· εἶτα μανθάνει ἐν Περσίδι ὁ βασιλεὺς καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ ὡς Ἕλληνι, τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται παρ’ αὐτοῦ Ἰστιαίου, αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποστάσεως. ἐλθὼν οὖν ὁ Ἱστιαῖος εἰς τὴν Ἀσίαν καὶ ὡς ὕποπτος γενόμενος ὅλου τοῦ πράγματος παρὰ τοῦ Ἀρταφέρνου τοῦ ὑπάρχου Σάρδεων ἤκουσε ταῦτα. ὑπόδημα δὲ λέγει τὴν ὅλην κατασκευὴν τοῦ πράγματος. Τὸν οἴκοι θησαυρὸν διαβάλλεις : ἐπὶ τῶν τὰ ἴδια διαβαλλόντων.

16 83 Τὸ εὔωνον κρέας οἱ κύνες ἐσθίουσιν : ἐπὶ τῶν διὰ φειδῶ πλείονος διαπάνης φαῦλα ὤνια ἐωνημένων. Τό τ ’ ᾄσονται κύκνο ι , ὅταν κολοιοὶ σιωπήσωσ ι .

16 85 Τὸ σκαμβὸν ξύλον οὐδέπο τ ’ ὀρθόν : αὕτη δημώδης ἐστὶ καὶ φανερά· τάττεται δὲ ἐπὶ τῶν διάστροφα ξύλα ἢ πράγματα πειρωμένων κατευθύνειν καὶ μηδὲν ὠφελούντων. Τοιοῦτο Θεμιστοκλῆς οὔπο τ ’ ἐνόησε : διὰ τὸ τειχίσαι τὸν Πειραιᾶ, ἢ ὅτι σοφίας δόξαν Θεμιστοκλῆς ἀπηνέγκατο.

16 86 λέγεται ἐπὶ τῶν ἄγαν ἐπαιρομένων ἐπὶ μικροῖς κατορθώμασι. Τὸ καλὸν φίλον εἶναι : ἐπὶ τῶν τὸ συμφέρον αἱρουμένων.

16 88 Τὸ Πάρνου σκαφίδιον : ἐπὶ τῶν μικρὰ ζητούντων· Πάρνος γάρ τις τὴν σκάφην ἀπολέσας συνεχῶς ᾔτει τὸν δῆμον. Τοῖς κακοῖς τρὶς τὰ κακά : ἡ παροιμία σαφής· γέγονε δὲ ἐντεῦθεν.

16 89 φασὶ τοὺς ἀττάγας ὄρνιθας μετακομισθέντας εἰς Αἴγυπτον ἐκ Λυδίας καὶ ἀφεθέντας εἰς τὰς ὕλας, τὰ μὲν πρῶτα ὄρτυγος φωνὴν ἀφιέναι, χρόνῳ δὲ ὕστερον τοῦ ποταμοῦ κοίλου ῥυέντος λοιμὸς ἐγένετο καὶ πολλοὶ τῶν κατὰ τὴν χώραν ἀπώλλυντο· οὐ διέλιπον οὖν οἱ ὄρνιθες οὗτοι πολλῷ σαφέστερον καὶ ἐναρθρότερον παιδίου μεῖζον φθέγμα ἀφιέντες καὶ λέγοντες· Τρὶς τοῖς κακοῖς τὰ κακ ά . λέγει δὲ ὁ αὐτὸς λόγος, ὅτι καὶ συλληφθέντες οὐ μόνον οὐ τιθασεύονται, ἀλλ’ οὐδὲ φωνὴν ἀφιᾶσιν ἣν πρότερον ἠφίεσαν· ἡ δουλεία δὲ αὐτῶν καὶ ἡ κάθειρξις καταψηφίζεται σιωπήν· ἐὰν δὲ ἀφεθῶσι καὶ ἐλεύθερον ἁπλώσωσι τὸ πτερὸν πάλιν γίνονται ἔμφωνοι, ὁμοῦ καὶ τὸ φθέγμα καὶ τὴν παῤῥησίαν ἀπολαμβάνοντες. Τοσοῦτον σχεδὸν , ὅσον ἐκ Διονυσίων : ἐπὶ τῶν ἀποδοχῆς ἀξίας τυχόντων.

16 91 Τὸν οἴκοθεν βρεχόμενον οὐδὲ θεὸς οἰκτείρει : καὶ αὕτη δημώδης. Τὸν κολοφῶνα ἐπέθηκας : ἐπὶ μεγάλων πραγμάτων καὶ βεβαίου ψήφου τάσσεται· δώδεκα πόλεις τῆς Ἰωνίας συνῄεσαν περὶ τῶν κοινῶν βουλευσόμεναι· καὶ εἴποτε ἴσαι αἱ ψῆφοι ἐγένοντο, οἱ Κολοφώνιοι περιττὴν τὴν νικῶσαν ἐτίθεντο· Σμυρναίους γὰρ ἐλθόντας συνοίκους ἐκέκτηντο, ὑπὲρ ὧν καὶ τὴν ψῆφον ἔθεντο· ὅθεν ἐπὶ τῆς κρατίστης καὶ βεβαίας ψήφου ἡ παροιμία εἴρηται.

16 93 Τὸν καπνὸν φεύγων εἰς τὸ πῦρ ἔπεσον : ἐπὶ τῶν τὰ μικρὰ τῶν δεινῶν φευγόντων καὶ εἰς μείζονα ἐμπιπτόντων. Τὸν πόλεμον ἐξωρχήσαντο : ἐπὶ τῶν ἡττηθέντων ἀλόγως ἐν τῷ πολέμῳ ⁝ Συβαρίτας τοὺς ἐν Ἰταλίᾳ τρυφῆς ἀκούω ποιήσασθαι φροντίδα ὑπερβάλλουσαν, καὶ τῶν μὲν ἄλλων ἔργων καὶ σπουδασμάτων ἀμαθῶς ἔχειν, πάντα δὲ τὸν ἑαυτῶν βίον διάγειν ῥᾳστωνεύοντας ἐν ἀργίᾳ καὶ πολυτελείᾳ· ἐκδεδιδαγμένοι γοῦν ἦσαν αὐτοῖς οἱ ἵπποι παρὰ τὸν τῆς εὐωχίας καιρὸν ὀρχεῖσθαι πρὸς αὐλὸν τῷ ῥυθμῷ· τοῦτο οὖν εἰδότες οἱ Κροτωνιᾶται, ἐπολέμουν αὐτοῖς· σάλπιγγα μὲν οὖν καὶ ἦχον σύντονον καὶ παρακλητικὸν εἰς ὅπλα κατεσίγασαν, αὐλοὺς δὲ καὶ αὐλητὰς παραλαβόντες, ἐπεὶ ὁμοῦ ἦσαν καὶ τόξευμα ἐξικνεῖτο ἤδη, ἐνέδοσαν ἐκεῖνο τὸ μέλος τὸ ὀρχηστικόν· ὅπερ οὖν ἀκούσαντες οἱ τῶν Συβαριτῶν ἵπποι κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν οἴκοι μνήμην, ὡς ἐν μέσοις ὄντες τοῖς συμποσίοις, ἀπεσείσαντο μὲν τοὺς ἀναβάτας, ἐσκίρτων δὲ καὶ ἐχόρευον καὶ τῇ τε ἄλλῃ τὴν τάξιν συνέχεαν καὶ τὸν πόλεμον ἐξωρχήσαντο.

16 95 Τὸ κυνὸς κακὸν ὗς ἀπέτισεν : ἐπὶ ἄλλων μὲν ἁμαρτησάντων, ἄλλων δὲ δόντων δίκην. Τοὺς πλέονας κακίους δ ὲ , Βίας ἀπέφηνε Πριηνεύ ς .

16 97 Τὸ τῆς Ἀμαλθείας κέρας : Φιλήμονος· Τὸ τῆς Ἀμαλθείας δοκεῖς εἶναι κέρας οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός; ἀργύριον ἐστί· τοῦτ’ ἐὰν ἔχῃς, λέγε πρὸς τοῦτ’ εἰ βούλει, πάντα σοι γενήσεται, φίλοι, βοηθοί, μάρτυρες, συνοικίαι. Τὸ γὰρ βροτεῖον σπέρμ’ ἐφημέρια φρονεῖ, καὶ πιστὸν οὐδὲν μᾶλλον, ἢ καπνοῦ σκιά.

16 98 Αἰσχύλου. Τοῦ Κροίσου παιδὸς σιγηλότερος : Κροῖσος γὰρ ἐκέκτητο υἱὸν ἄφωνον.

16 100 Τὸν τρέχοντα ἐρέθιζε : πρόδηλος· καὶ οὕτω δεῖ τοὺς φρονίμους. Τὸ ἀρνίον σου λελάληκεν : ἐν Αἰγίνῃ, ὡς φασίν, ἀνθρωπείᾳ φωνῇ ἐχρήσατο καὶ εἶπε τὰ μέλλοντα.

17 2 Τὸ βασιλικὸν βοίδιον : ἐπὶ τοῦ Πτολεμαίου βοῦς ἀπέτεκεν ἓξ βοίδια· πρὸς οἰωνοῦ δὲ ἀγαθοῦ τὸ συμβησόμενον λαβὼν ὁ Πτολεμαῖος ἐν τοῖς βασιλείοις μετὰ πάσης ἐπιμελείας προσέταξε τρέφεσθαι· χρήσῃ δὲ τοῦτο, ἢ ἐπὶ τῶν θεραπείας πολλῆς ἀξιουμένων, ἢ ἐπὶ τῶν εὐτυχούντων. Τὸ Δίωνος γρῦ : οὗτος ὁ Δίων, Ἀλεξανδρεὺς μὲν ἦν τὸ γένος, ἐπὶ φιλοσοφίᾳ δὲ περιβόητος· ἔχων δὲ ἀδελφὸν παλαιστὴν, Τόψιον καλούμενον, λοιδορούμενος ὑπό τινος τῶν ἀνταγωνιστῶν αὐτοῦ καὶ ἀκούων ἄῤῥητα ῥήματα, ἐπακολουθοῦντος καὶ ὄχλου πολλοῦ, αὐτὸς μὲν οὐδὲν ἐφθέγξατο, κατεσταλμένον τὸ τῆς σοφίας παράγγελμα τηρῶν· ἐντὸς δὲ τοῦ ἰδίου πυλῶνος γενόμενος καὶ μηδὲν ὀργῆς ὑπομείνας εἶπε πρὸς τὸν νέον οὐδὲ γρῦ· ὁ δὲ ἀθυμήσας ἀπήγξατο.

17 4 Τὸ ἐν τῇ καρδίᾳ τοῦ νήφοντο ς , ἐν τῇ γλώσσῃ τοῦ μεθύοντο ς . Τὸ Φιλοξένου οὐ : ἐπὶ τῶν μεγάλως ἀρνουμένων.

17 5 Φιλόξενος ὁ Κυθήριος διαφυγὼν τὰς λατομίας, εἰς ἃς αὐτὸν Διονύσιος ὁ τύραννος ἐνέβαλεν οὐκ ἐπαινοῦντα τὰς τραγῳδίας αὐτοῦ, διέτριβεν ἐν Κρότωνι τῆς Ἰταλίας. πυθόμενος δὲ ὁ Διονύσιος ἠξίου αὐτὸν εἰς Συρακούσας παραγενέσθαι· ὁ δὲ πρὸς ταῦτα λαβὼν χάρτην καὶ κατὰ μέσον γράψας μικρὸν οὐ περὶ τοῦτο μεῖζον περιεχάραττεν, ὥστε τὸ σχῆμα τοιοῦτον· καὶ πλήσας τούτων πάντων τὸν χάρτην ἔπεμψεν, ἐμφαίνων ὅτι πολλάκις καὶ μεγάλως ἀρνεῖται. Τὸ Πάσητος ἡμιώβολον : οὗτος μαλακὸς ἦν ὁ Πάσης ἐπὶ μαγείᾳ διενηνοχώς· τὸ γὰρ ἡμιώβολον διδοὺς παρ’ ἑαυτῷ πάλιν εὕρισκε.

17 7 Τὸ πέλαγος πρότερον οἴσει ἄμπελον , ἢ τόδε τι γενέσθαι : ἐπὶ τῶν ἀδυνάτων. Τὸ Ἱππάρχου τειχίον : ἐπὶ τῶν δαπανηρῶν πραγμάτων.

17 8 Ἵππαρχος γὰρ ὁ Πεισιστράτου παρὰ τὴν Πυθίαν τεῖχος ᾠκοδόμησε, πολλὰ τοὺς Ἀθηναίους ἀναγκάσας ἀναλῶσαι. Τὸν Ὕλλαν κραυγάζεις : ἐπὶ τῶν μάτην πονούντων καὶ κραυγαζόντων· ἐπεὶ τὸν Ὕλλαν ἀφανῆ γενόμενον Ἡρακλῆς ἀποβὰς τῆς νεὼς Ἀργοῦς ζητήσας οὐχ εὗρε.

17 10 Τὸ μὲν νόημα τοῦ θεοῦ , τὸ δὲ κλέμ μ ’ ἐμόν : οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστεϊζόμενοι ἔλεγον· ὁ μὲν θεὸς ὑπέβαλεν, ὁ ἐργασάμενος δὲ ἐγώ. Τοῦ Διὸς τὸν σάνδαλον : ἐπὶ τῶν μεγάλα δή τινα προβαλλομένων καὶ καινά.

17 12 Τὸ κανοῦν τῆς θεοῦ φέρει : ἐπὶ τῶν ἁγνῶν· αἱ γὰρ ἁγναὶ ἔφερον. Τοῦ Βάϋνος χοροῦ : ἐπὶ τῶν ἁπλουστέρων καὶ ἀμαθῶν.

17 13 παρόσον ὁ Βάϋν κακοὺς ἐποίει τοὺς μαθητάς. Τὸ Ἐπιμελίδειον δέρμα : ἐπὶ τῶν ἀποθέτων· κατέκειτο γὰρ παρὰ τῇ Λακεδαίμονι τοῦτο.

17 15

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὸ μὲν ἐμὸν ἀ π ᾽ ἐμοῦ γένος ἄρχεται , τὸ δὲ σὸν ἐν σοὶ παύεται : παραπλησία τῇ· Ἐμοὶ μὲν τὸ γένος ἄτιμο ν , σὺ δὲ τῷ γένει ⋮ Ἰφικράτης σκυτοτόμου υἱὸς πρὸς Ἁρμόδιον τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἀπόγονον εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον ἔφη τόδε. Τὸ Φρυνίχου πάλαισμα : κατὰ τῶν πανούργως σοφιζομένων· προδότης γὰρ οὗτος γέγονε τῶν Λακεδαιμονίων.

17 17 Τὸν Μίδα πλοῦτον καὶ Κροίσου καὶ Κυνήρου : ἐν ὑπερβολῇ ταῦτα. Τορώνη : Δίδυμός φησιν, ὅτι παροιμία ἐστὶν ἐπὶ τῶν ἁρμοζομένων καὶ σεμνοποιούντων ἑαυτοὺς πρὸς τὰ ἐναντία· Ἰσοκράτης δέ φησι πόλιν εἶναι ἐν Θρᾴκῃ.

17 19 Τοῦ σελίνου δεῖται : ἐπὶ τῶν ἰσχυρῶς νοσούντων· καὶ γὰρ εἰώθασι στεφανοῦν σελίνοις τὰ μνήματα. Τὸν ξύοντα ἀντιξύειν : ἐπὶ τῶν βλαπτόντων ἢ ὠφελούντων τινάς.

17 20 ἀπὸ μεταφορᾶς τῶν ὄνων· ἀλλήλους γὰρ ἀντικνήθουσιν. Τὸ τ μετὰ τοῦ ρ.

17 21 Τραγικὸς Θεοκρίνης : ἐπὶ συκοφαντούντων. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος λοιδορούμενος Αἰσχίνῃ φησί, Τραγικὸς Θεοκρίνης, βούλεται δὲ λέγειν αὐτὸν συκοφάντην, ἐπειδὴ ὁ Θεοκρίνης τοιοῦτος, ὥς ἐστι δῆλον ἐκ τοῦ κατὰ Θεοκρίνου, εἴτε Δημοσθένους ἐστὶν εἴτε Δεινάρχου οὗτος ὁ λόγος. Τρέχει τὴν ἐσχάτην : ἐπὶ τῶν τὰ λοίσθια πνεόντων.

17 23 Τρικέφαλος Ἑρμῆς : παρόσον ὁ λόγος μέγιστα ἰσχύει· οἱ δέ φασιν αὐτὸν τρικέφαλον ὡς διδάσκοντα τὰς ὁδοὺς καὶ ἔχοντα ὑπογραφήν, ποῦ μὲν αὕτη φέρει ἡ ὁδός, ποῦ δὲ ἐκείνη· ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἔστι δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, ὡς Φιλόχορος φησί, Προκλείδης Ἱππάρχου ἐραστής. Τροχίλος θεραπεύει κροκόδειλον : ἐπὶ τῶν φόβῳ τοῖς κρείττοσι δουλευόντων, ὅμως καὶ αὐτῶν ὑπ᾽ ἐκείνων ὠφελουμένων ⋮ Ὁ κροκόδειλος νήχεταί τε ἅμα καὶ κέχηνεν· ἐμπίπτουσιν οὖν αἱ βδέλλαι καὶ λυποῦσιν αὐτόν· ὅπερ εἰδὼς ἰατροῦ δεῖται τοῦ τροχίλου.

17 24 ἔστι δὲ ὁ τροχίλος ὄρνις τῶν ἑλείων εἷς, καὶ παρὰ τὰς ὄχθας τῶν ποταμῶν ἀλᾶται, καὶ ὅ τι ἂν τύχῃ παρεκλέγων βόσκεται· πλήρης οὖν βδελλῶν γενόμενος ὁ κροκόδειλος, ἐπὶ τὴν ὄχθην προελθὼν κατὰ τοῦ ἀκτῖνος κέχηνεν· ὁ τοίνυν τροχίλος ἐκβαλὼν τὸ ῥάμφος ἐξάγει τὰς προειρημένας· καρτερεῖ δὲ ὠφελούμενος ὁ κροκόδειλος καὶ ἀτρεμεῖ· καὶ ὁ μὲν ἔχει δεῖπνον τὰς βδέλλας, ὁ δὲ ὀνίναται, καὶ τὸ μηδὲν ἀδικῆσαι τὸν τροχίλον λογίζεταί οἱ μισθός ⋮ Κειμένῳ δὲ καὶ ὑπνώττοντι τῷ κροκοδείλῳ ἐπιβουλεύει ὁ ἰχνεύμων καὶ ἐμφὺς τῇ δέρῥῃ, πολλάκις ἀπέπνιξεν αὐτόν· ἀλλ᾽ ὅ γε τροχίλος ὑπεραγρυπνῶν τοῦ τροφέως βοᾷ καὶ παίει κατὰ τῆς ῥινὸς αὐτὸν καὶ ἀνίστησι καὶ πρὸς τὸν ἐχθρὸν ὑποθήγει. Τρὶς ἓξ ἢ τρεῖς κύβοι : οἱ μὲν τρὶς ἓξ νίκην, οἱ δὲ τρεῖς κύβοι κενοί.

17 26 Τριτογενείας ἔφυ παῖς : ἐπὶ τῶν ἐνδόξων καὶ φρονίμων. λέγεται δὲ Τριτογενὴς ἡ Ἀθηνᾶ, ἤτοι ὅτι ἐκ τῆς νηδύος καὶ τῆς μήτρας καὶ τῆς κεφαλῆς τοῦ Διὸς ἐξῆλθεν· ἢ ὅτι παρὰ Τρίτωνι τῷ ποταμῷ Λιβύης ἐγεννήθη, φθίνοντος, ὡς καὶ Ἀθηναῖοι ἄγουσιν· ἢ ὅτι μετὰ Ἄρτεμιν τρίτη καὶ Ἀπόλλωνα ἐγεννήθη· ἢ ὅτι ἐπεὶ τριτὼ τὴν κεφαλὴν Ἀθηναῖοι ἔλεγον. Τρὶς πα ρ ᾽ ἀσπίδα στῆναι ῥᾷότερον ἢ ἅπαξ ἀνταγωνίσασθαι τῇ πενίᾳ : τοῦτο ἐκ τῆς τραγῳδίας.

17 28 Τρίτου κρατῆρος ἐγεύσω : ἐπὶ τῶν μεμυημένων τὰ τελεώτατα καὶ σωτηριωδέστερα· τρεῖς δὲ ἦσαν κρατῆρες· καὶ τὸν μὲν πρῶτον ἔλεγον Ὀλυμπίων, τὸν δὲ δεύτερον Ἡρώων· Πλάτων ἐν πολιτείᾳ· τὸν δὲ τρίτον Ὀλυμπικῶς τῷ σωτῆρί τε Ὀλυμπίῳ. ἐλέγετο καὶ τριτὺς ἡ ἐντελὴς θυσία ἐκ συός, κριοῦ καὶ τράγου, καὶ φυλῆς μέρος τρίτον. Τραγικὸν πάθος : ἐπὶ τῶν μεστῶν συμφορῶν: Οἱ τράγοι μάχονται πρὸς τράγους ὑπὲρ τῶν θηλειῶν, ὥσπερ ὡραίων γυναικῶν, καὶ οἱ ταῦροι πρὸς ταύρους, καὶ ὑπὲρ ὀΐων οἱ κριοὶ πρὸς τοὺς ἀντερῶντας.

17 29 ὀργῶσι δὲ καὶ ἐπὶ τὰς θηλείας καὶ οἱ θαλάττιοι κάνθαροι· γίνονται δὲ ἐν τοῖς ἄσπροις καλουμένοις χωρίοις καὶ εἰσὶ ζηλότυποι, καὶ ἴδοις ἂν μάχην ὑπὲρ τῶν θηλειῶν καρτεράν· καὶ ἔστιν ὁ ἀγὼν οὐχ ὑπὲρ πολλῶν, ὡς τοῖς Ἀργείοις ὁ πόλεμος, ἀλλ᾽ ὑπὲρ τῆς ἰδίας γαμετῆς, ὡς τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μενέλεῳ πρὸς τὸν Πάριν. Τροφονίου κατὰ γῆς παίγνια : καὶ παροιμία· Ἐς Τροφωνίου μεμάντευτα ι . [5]

17 30 ἐν Λεβαδίᾳ χρηστήριον ἦν, ὃ Καταβάσιον ἐκάλουν· στόμιον γάρ τι ἦν, ὡς τὰ ἄκρα δύνασθαι μόνον τῶν ποδῶν χωρῆσαι. οἱ οὖν τῷ θεῷ χρώμενοι, ἁγνεύσαντες πρῶτον ὡρισμένως καὶ κοσμήσαντες ἑαυτοὺς ἱερῷ τινι σχήματι, ἀμφοτέραις ταῖς χερσὶ μελιττούτας λαβόντες, οὕτως ἐκάθιζον ἐπὶ τὸ στόμιον, καὶ αἰφνίδιον ἡρπάζοντο, καὶ κατέδον ἐπὶ τῆς γῆς· τὰς δὲ μελιττούτας, ὅ ἐστι μάζας, ἐλάμβανον ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι ὑπὸ τῶν συναντώντων ὄφεων. Τρυγόνος λαλίστερος : ἐπειδὴ καὶ αἱ τρυγόνες οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέλεσιν ἠχοῦσι, καὶ ἐκ τῆς πυγῆς λαλοῦσιν, ὡς Αἰλιανὸς φησίν ⋮ Οἱ τὰς θαλασσίους τρυγόνας θηρῶντες, ἑστήκασιν ὀρχούμενοι καὶ ᾄδοντες εὖ μάλα μουσικῶς· αἱ δὲ, καὶ τῇ ἀκοῇ θέλγονται, καὶ τῇ ὄψει τῆς ὀρχήσεως κηλοῦνται καὶ προσίασιν ἐγγυτέρω· οἱ δὲ ὑπαναχωροῦσιν ἡσυχῇ καὶ βάδην, ἔνθα δήπου ταῖς δειλαίαις πρόκειται δίκτυα ἐκπεπετασμένα, εἶτα ἐμπίπτουσιν εἰς αὐτὰ καὶ ἁλίσκονται ⋮ Λέγει Λεωνίδης ὁ Βυζάντιος ἰχθύων φύσεώς τε καὶ κρίσεως ἄπειρον ἄνθρωπον ἁρπάσαντα ἐκ δικτύου τρυγόνα, ᾤετο δὲ ἄρα ὁ δυστυχὴς ψῆτταν εἶναι, φέροντα ὡς εἶχεν, ἐπὶ κόλπον βαλεῖν καὶ βαδίζειν, ἵνα λάθῃ, ὥς τι ἀγαθὸν εὑρών, εἶτα καὶ εἰς ἐμπολὴν κερδαλέον ἑαυτῷ ἔχῃ ἅρπαγμα· ἡ δὲ ἄρα ἤλγησε πιεζομένη, καὶ παίει τῷ κέντρῳ διείρασα, καὶ ἐξέχεε τοῦ δυστυχοῦς κλέπτου τὰ σπλάγχνα, καὶ ἐκεῖτο παρὰ τῇ τρυγόνι νεκρὸς ὁ φώρ, ἐναργὴς ἔλεγχος ὧν οὐκ εἰδὼς ἔδρασε. [15]

17 32 Τραγικὸς πίθηκος : ἐπὶ τῶν παρ’ ἀξίαν σεμνυνομένων. Τροχὸς τὰ ἀνθρώπινα : ἤγουν εὐμετάβολα.

17 34 Τρικέφαλε Γηρυόνη : ἐπὶ τῶν θηριογνωμόνων ⋮ Φασὶ γὰρ Γηρυόνη ν , ὡς τρικάρηνος ἦν· ἀδύνατον δὲ σῶμα τρεῖς κεφαλὰς ἔχειν· ἦν δὲ τοιόνδε τοῦτο· πόλις ἐστὶν ἐν τῷ Εὐξείνῳ πόντῳ Τρικαρηνία καλουμένη· ἦν δὲ Γηρυόνης ἐν τοῖς τότε ἀνθρώποις ὀνομαστός, πλούτῳ τε καὶ ἄλλοις διαφέρων· εἶχε δὲ καὶ βοῶν ἀγέλην θαυμαστήν, ἐφ’ ἣν ἐλθὼν Ἡρακλῆς ἀντιποιούμενον Γηρυόνην ἔκτεινεν· οἱ δὲ θεώμενοι περιελαυνομένας τὰς βοῦς ἐθαύμαζον· ἦσαν γὰρ τὸ μὲν μέγεθος μικραί, ἀπὸ δὲ κεφαλῆς ἐπὶ τῇ ὀσφύι μικραὶ καὶ σιμαὶ, κέρατα οὐκ ἔχουσαι, ὀστᾶ δὲ μακρὰ καὶ πλατέα. πρὸς τοὺς πυνθανομένους οὖν ἔλεγον τινές, Ἡρακλῆς ταύτας περιήλασεν, οὔσας Γηρυόνου τοῦ Τρικαρήνου· τινὲς δὲ ἐκ τοῦ λεγομένου ὑπέλαβον αὐτὸν τρεῖς ἔχειν κεφαλάς. Τὸ τ μετὰ τοῦ υ. [10]

17 35 Τυφλότερος ἀσπάλακος : τοῦτο τὸ ζῷον οὐκ ἔχει ὀφθαλμούς· φησὶ δ’ αὐτὸ Στησίμβροτος ὑπὸ τῆς Γῆς τυφλωθῆναι διὰ τὸ φθείρειν τοὺς καρπούς· ἔχει γὰρ ὀδόντας μιαρωτάτους καὶ ῥύγχον ὥσπερ γαλῆς καὶ πόδας ὡς ἄρκτου· Τυφῶνος πολυπλοκώτερον : Τυφὼν ὁ λεγόμενος κεραυνωθῆναι ὑπὸ τοῦ Διός· τούτου ποικιλώτερον.

17 37 Τυφλὸς τὰ ὦτ α , τόν τε νοῦ ν , τά τ ’ ὄμμα τ ’ ε ἶ . Τυφλὸν ὄνειρον : ἐπὶ τῶν ἀπατηλῶν.

17 39 Τυφογέρων : ἐπὶ τῶν τυφομανῶν γερόντων. Τὸ τ μετὰ τοῦ ω.

17 40 Τῶν ἐαρινῶν φύλλων πλείονές εἰσιν οἱ συκοφάντα ι . Τῶν ἀνεφύκτων μὴ ἐπιχείρε ι .

17 42 Τῶν καλῶν καὶ τὸ μετόπωρον καλὸν ἐστίν : Εὐριπίδης τὸν καλὸν Ἀγάθωνα περιλαμβάνων ἐν τῷ συμποσίῳ καὶ καταφιλῶν ἤδη γενειῶντα πρὸς τοὺς φίλους εἶπε, Μὴ θαυμάζητε· τὸ παροιμιῶδες τοῦτ’ εἰπών. Τῶν δ ’ ὄνων οὔ μοι μέλει Τῷ θρίῳ τὴν ἔγχελυν : θρίον τὸ φύλλον τῆς συκῆς· τραχὺ γὰρ ἐστίν· αἱ δὲ ἐγχέλυς ὀλισθηραί· πρὸς τὸ λαμβάνειν οὖν αὐτὰς κατάλληλον.

17 45 Τῶν πλειόνων ἡ ψῆφος νικ ᾷ . Τῶν ἀχαρίστων αἱ δωρεαὶ ἀνατρέποντα ι .

17 47t Ἀρχὴ τοῦ υ στοιχείου. Τὸ υ μετὰ τοῦ β. Ὕβρις ὕβριν ἔτικτε καὶ ψόγος ψόγο ν .

17 48t Τὸ υ μετὰ τοῦ γ. Ὑγρὰ νύξ : ἐπὶ τῶν συμβαινόντων χαλεπῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17 49t Τὸ υ μετὰ τοῦ δ. Ὕδρας κεφαλὰς τέμνεις : ἐπὶ τῶν ἀμηχάνων ⁝ Ἱστορεῖται γὰρ ἡ ὕδρα, ὡς ἐν τῇ Λέρνῃ ἦν ἔχουσα κεφαλὰς ἑκατόν· ὡς δ’ ἐξ ἐπιταγῆς Εὐρυσθέως ἐκελεύσθη ὁ Ἡρακλῆς φονεῦσαι αὐτήν.

17 49 καὶ εἰς μάχην σταθεὶς καὶ τέμνων τὰς κεφαλὰς αὐτῆς μιᾶς κοπτομένης πολλαὶ ἀνεφύοντο· καὶ οὐκ ἂν νικητὴς ταύτης ἀνεφάνη, εἰ μὴ Ἰολαίου τυχόντος ἐκεῖσε τὰς ἐκφυομένας κεφαλὰς κατακαίνοντος. τοιοῦτον δ’ εἴ τις πείθεται γενέσθαι μάταιος ἐστί. τὸ δ’ ἀληθὲς ὧδε ἔχει. Λέρνος ἦν βασιλεύς· ᾤκουν δὲ πάντες οἱ ἄνθρωποι κατὰ κώμας· ἦσαν δὲ βασιλεῖς ἐφ’ ἑκάστῳ τῶν χωρίων τούτων· νέλος δὲ ὁ τοῦ Περσέως εἶχε τὸ μέγιστον καὶ πολυανθρωπότατον, τὴν Μυκήνην. Ὁ δὲ Λέρνος οὐκ ἤθελεν αὐτῷ ὑποτετάχθαι· ἐπολέμουν οὖν οἱ δύο διὰ τοῦτο. ἐν δὲ τῇ εἰσβολῇ τῆς χώρας ἦν τῷ Λέρνῳ πολίχνιόν τι καρτερὸν καὶ ἐφρούρουν αὐτὸ πεντήκοντα τοξόται ἀνδρεῖοι, οὓς ἐπῄεσαν ἐπὶ τῷ πύργῳ ἀδιαλείπτως νύκτα καὶ ἡμέραν· ὄνομα δὲ ἦν τῷ πολιχνίῳ Ὕδρα. πέμπει οὖν Εὐρυσθεὺς Ἡρακλέα καὶ πολιορκεῖ αὐτὸ τὸ πολίχνιον· οἱ δὲ ἐπὶ τῷ πύργῳ ἐπυρπόλουν τοὺς κάτω· ὁπότε δέ τις πληγεὶς πέσοι, ἀνέβαινον δύο τοξόται ἀνθ’ ἑνός. ἐπειδὰν ἀνδρεῖος ἦν ὁ προανῃρημένος· ἐπεὶ δὲ συνείχετο ὁ Λέρνος ὑπὸ Ἡρακλέους τῷ πολέμῳ, μισθοῦται ὀθνεῖον στρατόν· ἦλθε δὲ αὐτῷ ἄγων τὴν στρατιὰν Καρκῖνος ὄνομα τῷ ἀνδρί, μέγας τὴν ἰσχὺν καὶ πολεμικὸς καὶ σὺν τούτῳ ἀντεῖχον πρὸς τὸν Ἡρακλέα· εἶτα βοηθεῖ ὁ Ἰόλαος ὁ Ἰφικλέους, ἀδελφιδοῦς ὢν τῷ Ἡρακλεῖ, ἔχων στρατιὰν ἀπὸ Θηβῶν· καὶ τὸν πεφυκότα πύργον πρὸς τῇ Ὕδρᾳ προσελθὼν ἐνέπρησε καὶ σὺν ταύτῃ τῇ δυνάμει ἐπόρθησεν αὐτοὺς ὁ Ἡρακλῆς καὶ τὴν Ὕδραν ἀναιρεῖ καὶ τὴν στρατιὰν ἀπόλλυσιν· οὗ γενομένου ὁ μῦθος ἀνεπλάσθη· καὶ γράφουσι τὴν ὕδραν ὄφιν καὶ τὸν μῦθον ἀναπλάττουσιν. Ὑδροφορίαν ἄγεις : ἑορτὴ ἦν πένθιμος Ἀθήνησιν, ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολλομένοις· ὡς Ἀπολλώνιος. [30]

17 51 Ὕδωρ αὐτοπαγές : τὸ συνεστηκὸς ἐν τοῖς ἱεροῖς· ἢ τὸ αὐτομάτας πηγὰς ἔχον. Ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις : τοῦτο ἐξ ἐπιγράμματος εἶναι μέρος, οἱ μὲν Ἀσκληπιάδου, οἱ δὲ Θεαιτήτου φασίν.

17 53 Ὕδωρ παραῤῥέει : ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει σπουδάσειν· ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων. Τὸ υ μετὰ τοῦ μ.

17 54 Ὑμεῖς δαίμονα αἱρήσεσθε , οὐχ ὑμᾶς δαίμων λήξεται : ὅτι ἐκ προαιρέσεως καὶ οὐκ ἐξ εἱμαρμένης τὰ ἀνθρώπινα, κατά τε Ὀλυμπιόδωρον καὶ Ἀμμώνιον. Τὸ υ μετὰ τοῦ π.

17 55 Ὑπὲρ τὸν κατάλογον : ἐπὶ τῶν γεγηρακότων. Ὑπὲρ τὰ Καλλικράτους : ἐπὶ πλουσίων· πλούσιος γὰρ οὗτος ἐν Κορίνθῳ.

17 57 Ὑπεψηνισμένη : ἀκμαία πρὸς τόκον. ἀπὸ μεταφορᾶς τῶν σύκων τῶν διὰ τοὺς ψῆνας πεπείρων. Ὑποβολιμαῖος εἶ : ἐπὶ τῶν εὐτελῶν· ἀπὸ τῶν ὑποβαλλομένων παιδίων καὶ χαμαιῤῥιφῶν, ἅπερ ἑαυτῶν ἀποβάλλουσιν ἢ ὑποβάλλουσιν αἱ γυναῖκες.

17 59 Ὑπερβερεταῖος : ἐπὶ τῶν ὑπερχρονίων· ὁ γὰρ τελευταῖος μήν ἐστιν οὗτος. Ὑποζυγιώδης ἄνθρωπος : ὁ μὴ ἐκ τῆς αὐτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ’ ἐκ τῆς ἑτέρων κελεύσεως· ὥσπερ καὶ τὰ ὑποζύγια.

17 60 εἴποις δ’ ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. Ὑπὸ παντὶ λίθῳ σκορπίος : λείπει τὸ εὕδει· λέγεται ἐπὶ τῶν κακοήθων καὶ ἐριστικῶν.

17 62 Ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷς : ὅμοιον τῷ· ὑπὲρ βάθμιον πόδα τείνει ς . εἴρηται ὑπὸ Πεντάκλου τοῦ Κροτωνιάτου, ὃς πεντήκοντα ποδῶν ὄντων πρότερον τῶν ἐσκαμμένων, πρῶτος αὐτὸς ὑπερέβαλε τοῖς πηδήμασιν, ὡς τὸ ἐπίγραμμα λέγει· Πέν τ ’ ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλο ς , δίσκευσεν δ ’ ἑκατό ν , πέν τ ’ ἀπολειπομένω ν . Ὑπὲρ τῶν ὅλων ἀναῤῥίπτεις τοὺς κύβους : οἱονεὶ ὑπὲρ τῶν ὅλων ἀγωνίζῃ καὶ κινδυνεύεις. [5]

17 64

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὑπέρου περιστροφή : ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων. Ὑπέρου γυμνότερος : καί· Ὑπέρου πολλῷ φαλακρότερο ς .

17 66 Ὑπόχαλκον τὸ χρυσίον : ἐπὶ τῶν κεκιβδηλευμένων. Ὑπηνέμια τίκτει : τὰ ψευδῆ καὶ ἀβέβαια.

17 68 Ὑπὲρ τὸν Ὑπέρβολον : φιλόδικος οὗτος ἦν. Ὑπὲρ ὄνου σκιᾶς : ἐπὶ τῶν ὑπὲρ μηδενὸς χρησίμου φιλοτιμουμένων.

17 69 λέγουσιν ὅτι Δημοσθένης ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος οὐκ ἀνασχομένων τῶν δικαστῶν εἶπεν· Ἀκούσατε, ὦ ἄνδρες, διηγήματος τερπνοῦ· Νεανίσκος ποτὲ Ἀθήνηθεν εἰς Δελφοὺς ὄνον ἐμισθώσατο· μεσημβρίας δὲ καταλαβούσης, καταλύσας τὸν γόμον ὑπέδυ τὴν σκιὰν τοῦ ὄνου· ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου μὴ καὶ τὴν σκιὰν μεμισθῶσθαι λέγοντος, εἰσῆλθον εἰς τὸ δικαστήριον ἀμφότεροι. εἰπὼν ταῦτα ὁ Δημοσθένης κατέβαινεν ἐκ τοῦ βήματος· ἀξιούντων δὲ τῶν δικαστῶν τὸ τέλος τῆς δίκης μαθεῖν, εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος, ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν, ὦ ἄνδρες, ἐπιθυμεῖτε, ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ φωνῆς ἀνέχεσθε· τούτῳ καθαψάμενος τῶν κριτῶν τὸν κατηγορούμενον περιέσωσεν. Τὸ υ μετὰ τοῦ ς. [15]

17 70 Ὗς ὑπὸ ῥόπαλον : ἡ παροιμία παρὰ Δεινολόχῳ. ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλόντων ⁝ Δημόκριτος πολύγονα εἶναι ὗν καὶ κύνα· πολλὰς γὰρ ἔχειν λέγει τὰς μήτρας καὶ τοὺς τόπους τοὺς δεκτικοὺς τοῦ σπέρματος. ὁ τοίνυν θορὸς οὐκ ἐκ μιᾶς ὁρμῆς ἁπάσας αὐτὰς ἐκπληροῖ, ἀλλὰ δίς τε καὶ τρὶς ταῦτα τὰ ζῷα ἐπιθόρνυται, ἵνα ἡ συνέχεια πληρώσῃ τὰ τοῦ γόνου δεκτικά. ἡμιόνους δὲ λέγει μὴ τίκτειν· μὴ γὰρ ἔχειν ὁμοίας μήτρας τοῖς ἄλλοις ζῴοις, ἑτερομόρφους δέ, ἥκιστα δυναμένας γονὴν δέξασθαι· μὴ γὰρ εἶναι φύσεως ποίημα τὴν ἡμίονον, ἀλλὰ ἐπινοίας ἀνθρωπίνης καὶ τόλμης, ὡς ἂν εἴποις μοιχίδιον ἐπιτέχνημα τοῦτο καὶ κλέμμα. Ὗς Διαροίδων : ἐπὶ τῶν σκαιῶν καὶ ἀπαιδεύτων· Κράτης ⁝ Ὗν οὔτε ἄγριον οὔτε ἥμερον ἐν Ἰνδοῖς γενέσθαι λέγει Κτησίας, πρόβατα δὲ τὰ ἐκείνων οὐρὰς πήχεως ἔχειν τὸ πλάτος που φησίν. [10]

17 72 Ὗς ἐκώμασεν : ἐπὶ τῶν ἀσέμνως τι ποιούντων καὶ παρ' ἀξίαν ἐπαιρομένων ἐπί τισιν εὐπραγίαις. Ὗς πό τ ' Ἀθηναίαν ἔριν ἤρισεν : Θεόκριτος.

17 73 ἐπὶ τῶν τοῖς κρείττοσι φιλονεικούντων. Ὗς ὀρίνει : ἐπὶ τῶν βιαίων λέγεται καὶ ἐριστικῶν.

17 75 Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου : ὅμοιον τῷ Κράτητος· καὶ τῷ· ὗς ἐν βορβόρῳ ὑλισπᾶτα ι . Τὸ υ μετὰ τοῦ φ.

17 76 Ὑφάντου πταίσματος ὑπήτης ἐτύφθη : ὅτι πολλάκις ἄλλοι μὲν πταίουσιν, ἄλλοι δὲ ἀπολαμβάνουσιν. Ἀρχὴ τοῦ φ στοιχείου.

17 77t Τὸ φ μετὰ τοῦ α. Φαλλέκιον ποίημα : αὐτοσχέδιον· ἐπὶ τῷ φαλλῷ ᾀδόμενον· ἦν δὲ φαλλὸς δέρμα ἐσχηματισμένον εἰς αἰδοῖον, ὃ περιετίθεσαν οἱ Ἕλληνες ἑαυτοῖς εἰς τιμὴν τοῦ Διονύσου καὶ ᾖδον· ὁ γὰρ Διόνυσος σύκινον αἰδοῖον πελεκήσας περιῆψεν εἰς τὸν ἑαυτοῦ τράχηλον, ἀφοσιούμενος τὸν ἔρωτα τοῦ ἐρωμένου, ὃς ἀπέθανε πρὸ τῆς μίξεως. [5]

17 78 Φαλάριδος ἀρχὴ καὶ Ἐχέτου : ἐπὶ τῶν ἀπηνῶς ἀρχόντων. Ἔχετος τῆς Ἠπείρου ὑπῆρχε τύραννος· οὗτος ὠμότατος ὢν ἐπενόει παντοίας τιμωρίας καὶ κολαστήρια· πρὸς τοῦτον οἱ θέλοντες ἀφειδῶς κολάσαι διέπεμπον· ὡς καὶ ὁ ποιητὴς περὶ αὐτοῦ· Εἰς Ἔχετον βασιλῆ α , βροτῶν δηλήμονα πάντω ν . Ὁ δὲ Φάλαρις τοιοῦτός τις ἦν· καὶ οὗτος καινοτέρων κολαστηρίων γέγονεν εὑρετής· ἦν δὲ τὸ γένος Σικελιώτης· οὗτος Διονυσίῳ τῷ τυράννῳ χαριζόμενος, ὄντι ὠμοτάτῳ καὶ τιμωρητικῷ, ἐπενόησε βοῦν χαλκοῦν, ἐν ᾧ ἔδει βάλλειν τοὺς κολαζομένους καὶ πῦρ ἀνακαίεσθαι, ἵνα ἔνδον ὄντες καιόμενοι καὶ βοῶντες, διατρεχούσης τῆς φωνῆς διὰ τοῦ στόματος τοῦ ταύρου, δόξῃ ὁ ταῦρος καιόμενος μυκηθμὸν ἀποτελεῖν. τούτου δὲ τοῦ Φαλάριδος τὸ ἀπάνθρωπον θεασάμενος ὁ Διονύσιος αὐτὸν τοῦτον ἐνέβαλεν εἰς τὸν βοῦν καὶ καύσας ἀπέκτεινεν ἐν τοῖς ἑαυτοῦ μηχανήμασιν ⁝ Καὶ ταύτην μὲν οὕτως ἔχουσαν εὗρον τὴν ἱστορίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τῇ συναγωγῇ τῶν παροιμιῶν, ὡς εἶχε προσέθηκα, μὴ μέντοι γε ἀληθεύουσαν τοῖς προσώποις· οὐ γὰρ Φάλαρις ἦν ὁ τὸν βοῦν ἐπινοήσας τὸ κολαστήριον, ἀλλὰ Τιμόλαος ὁ Ἀθηναῖος· ὡς ἔστι γε τῷ θέλοντι κατιδεῖν ἐκ τῆς πρὸς Ἀθηναίους ἐπιστολῆς τοῦ Φαλάριδος ὑπὲρ αὐτοῦ ἀπολογουμένου· ὃν ὁ Φάλαρις ἐμβαλὼν εἰς τὸν βοῦν κατέκαυσεν ἐλεεινῶς καὶ βύζην μυκώμενον· ἧ που γε ἐς τόνδε τὸ τοῦ Ἡσιόδου ἠλήθευσεν· Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχω ν . Φασηλιωτῶν θῦμα : ἐπὶ τῶν εὐτελῶν τίθεται· Φασηλιώτας γὰρ τάριχον τῷ κολάβρῳ θύειν φησὶν ὁ Καλλίμαχος.

17 80 Φάων ὑπάρχεις τῷ κάλλει καὶ τὸν τρόπον : ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων· τοῦ γὰρ Φάωνος ἐρασθῆναί φασι τὴν Σαπφώ, οὐ τὴν ποιήτριαν, ἀλλὰ τὴν Λεσβίαν· καὶ ἀποτυγχάνουσαν ῥῖψαι ἑαυτὴν ἀπὸ τῆς Λευκάδος πέτρας ⋮ Τῷ δὲ Φάωνι βίος ἦν περὶ πλοῖον εἶναι καὶ θάλατταν· πορθμὸς ἦν θάλασσα. ἔγκλημα δὲ οὐδὲν παρ’ οὐδενὸς ἐνομίζετο. ἐπεὶ καὶ μέτριος ἦν καὶ παρὰ τῶν ἐχόντων μόνον ἐδέχετο· θαῦμα ἦν τοῦ τρόπου παρὰ τοῖς Λεσβίοις· ἐπαινεῖ τὸν ἄνθρωπον ἡ θεός, Ἀφροδίτην λέγουσι τὴν θεόν, καὶ ὑποδῦσα θέαν ἀνθρώπου γυναικὸς ἤδη γεγηρακυίας· τῷ Φάωνι δὲ διαλέγεται περὶ πλοῦ. ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι καὶ διακομίσαι καὶ μηδὲν ἀπατῆσαι· τί οὖν ἐπὶ τούτοις ἡ θεός; ἀμεῖψαί φασι τὸν ἄνθρωπον, καὶ ἀμείβεται νεότητι καὶ κάλλει γέροντα. οὗτος ὁ Φάων ἐστίν, ἐφ’ ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις αἷμα ἐποίησε. Φεραύλας βληθεὶς οὐδαμῇ μετεστράφη : ἐπὶ τῶν σπουδαιοτάτων καὶ ἐπιμονωτάτων, οἷς εἵλοντο κοπιᾶν ⋮ Ὁ γὰρ Κῦρος μετὰ τὴν ἐκ Βαβυλῶνος ἐξέλασιν καὶ τὴν ἐπὶ τῷ Διὶ καὶ τοῖς ἄλλοις θεοῖς ὁλοκαύτωσιν, καλοῦ ὄντος τοῦ ἐν ᾧ χωρίου ἐξήλασεν, ἔδειξε τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου, καὶ εἶπε κατὰ φῦλα ἀνὰ κράτος ἐνταῦθα ἀφιέναι τοὺς ἵππους.

17 81 σὺν μὲν οὖν τοῖς Πέρσαις αὐτὸς ἤλασε, καὶ ἐνίκα πολύ. μάλιστα γὰρ ἐμεμελήκει αὐτῷ ἱππικῆς· Μήδων δὲ Ἀρτάβαζος ἐνίκα· Κῦρος γὰρ τὸν ἵππον ἐδεδώκει αὐτῷ· Σύρων δὲ τῶν πάντων Γαδάτας· Ἀρμενίων δὲ Τιγράνης· Ὑρκανίων δὲ ὁ υἱὸς τοῦ ὑππάρχου· Σακῶν δὲ ἰδιώτης ἀνήρ· ἀπέλιπε δὲ τῷ ἵππῳ τοὺς ἄλλους ἱππεῖς ἐγγὺς τὸ ἥμισυ τοῦ δρόμου. ἔνθα δὴ λέγεται ὁ Κῦρος ἐρέσθαι τὸν νεανίσκον, εἰ δέξαιτ’ ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου· τὸν δ’ ἀποκρίνασθαι, ὅτι βασιλείαν μὲν οὐκ ἂν δεξαίμην, χάριν δὲ ἀνδρὶ ἀγαθῷ καταθέσθαι δέξαιμι ἄν· καὶ ὁ Κῦρος εἶπε· καὶ μὴν ἐγώ σοι δεῖξαι θέλω, ἔνθα, κᾂν καμύων βάλῃς, οὐκ ἂν ἁμάρτοις ἀνδρὸς ἀγαθοῦ. πάντως ὁ Σάκας ἔφη, δεῖξόν μοι, ὡς βαλῶ γε πάντῃ τῇ βώλῳ ἀνελόμενος· καὶ ὁ μὲν Κῦρος δείκνυσιν αὐτῷ, ὅπου ἦσαν πλεῖστοι τῶν φίλων· ὁ δὲ καταμύων ἵησι τῇ βώλῳ, καὶ παρελαύνοντος Φεραύλα τυγχάνει· ἔτυχε γὰρ ὁ Φεραύλας παραγγέλλων τι τακτικὸν ὑπὸ Κύρου· βληθεὶς δὲ οὐδὲ μετεστράφη, ἀλλ’ ᾤχετο ἐφ’ ὅπερ ἐτάχθη. ἀναβλέψας δὲ ὁ Σάκας ἐρωτᾷ τίνος ἔτυχεν· οὐ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, οὐδενὸς τῶν παρόντων. ἀλλ’ οὐ μέντοι, ἔφη ὁ νεανίσκος, τῶν γε ἀπόντων; ναὶ μὰ Δία, ἔφη ὁ Κῦρος, σύ γε ἐκείνου τοῦ παρὰ τὰ ἅρματα ταχὺ ἐλαύνοντος τὸν ἵππον. καὶ πῶς, ἔφη, οὐδὲ μεταστρέφεται; καὶ ὁ Κῦρος ἔφη· μαινόμενος γὰρ τί ἐστιν, ὡς ἔοικεν· ἀκούσας ὁ νεανίσκος ᾤχετο σκεψόμενος τίς εἴη· καὶ εὑρίσκει τὸν Φεραύλαν γῆς τε κατάπλεων τὸ γένειον καὶ αἵματος· ἐῤῥύη γὰρ αὐτῷ ἐκ τῆς ῥινὸς βληθέντι· ἐπεὶ δὲ προσῆλθεν, ἤρετο αὐτὸν εἰ βληθείη· ὁ δὲ ἀπεκρίνετο, ὡς ὁρᾷς. δίδωμι τοίνυν σοι, ἔφη, τοῦτον τὸν ἵππον. ὃ δ’ ἐπήρετο, ἀντὶ τοῦ; ἐκ τούτου δὴ διηγεῖτο ὁ Σάκας τὸ πρᾶγμα καὶ τέλος εἶπεν· οἶμαί γε οὐχ ἡμαρτηκέναι ἀνδρὸς ἀγαθοῦ. καὶ Φεραύλας εἶπεν· ἀλλὰ πλουσιωτέρῳ μὲν ἄν, εἰ ἐσωφρόνεις, ἢ ἐμοὶ ἐδίδως· νῦν δὲ κἀγὼ δέξομαι. ἐπεύχομαι δὲ πᾶσι τοῖς θεοῖς, οἵπερ με ἐποίησαν βληθῆναι ὑπό σου, δοῦναί μοι ποιῆσαι μὴ μεταμέλειν σοι τῆς ἐμῆς δωρεᾶς· καὶ νῦν ἔφη ἀπέλασον ἀναβὰς ἐπὶ τόνδε τὸν ἐμὸν ἵππον· αὖθις δ’ ἐγὼ παρέσομαι πρὸς σέ. Τὸ φ μετὰ τοῦ ι.

17 82 Φιλοτιμοῦνται ὡς Μεμφῖται τοῖς τῆς Ἴσιδος πλοκάμοις καὶ Θηβαῖοι τοῖς τοῦ Γηρυόνου ὀστοῖς καὶ Τεγεᾶται τῷ τοῦ Καλυδωνίου δέρματι. Φίλος ἀνεπίκαρπος χείρων ἐχθρο ῦ .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17 84 Φιλία παρδάλεως : ἐπὶ τῶν πιστότατα φιλούντων ⋮ Πάρδαλιν γὰρ ἐκ νηπίου θηρατὴρ ἀνὴρ ἡμερώσας οἷα φίλην ἢ ἐρωμένην περιεῖπεν· οὐκοῦν ἔριφον αὐτῇ φέρων ζῶντα ἐδίδου, τροφὴν ἐν αὐτῷ καὶ ἡδονήν τινα ἐπινοήσας τῷ θηρίῳ ἐν τῷ διασπᾶν τὸν ἔριφον, ἀλλὰ μὴ δοκεῖν ἐσθίειν κενέβριον τε καὶ θνησείδιον· καὶ δὴ κομισθέντος ἐρίφου ἥδε ἐγκρατῶς ἔσχε, δεομένη ἀπόσιτος εἶναι διὰ πλησμονήν· ἔδρασε δὲ καὶ τῇ δευτέρᾳ τοῦτο· ἐδεῖτο γὰρ ἔτι ὡς φαρμάκου τοῦ λιμοῦ· τῆς δὲ τρίτης ἐπιστάσης ἡμέρας ἐπείνα μὲν καὶ συνήθως ἐπεδείκνυτο τοῦτο τῷ φθέγματι, οὐ μὴν τοῦ ἐρίφου γενομένου δύο ἡμερῶν φίλου ἔτι προσήψατο, ἀλλὰ ἐκεῖνον μὲν εἴασεν, ἄλλον δὲ ἔλαβεν. ἄνθρωποι δὲ καὶ ἀδελφοὺς προὔδοσαν, καὶ τοὺς γειναμένους, καὶ φίλους ἀρχαίους ⋮ Εὐωδίας τινὸς θαυμαστῆς τὴν πάρδαλιν μετειληφέναι φασίν, ἡμῖν μὲν ἀποῤῥήτου, αὐτὴ δὲ οἶδε τὸ πλεονέκτημα τὸ οἰκεῖον· καὶ μέντοι καὶ τὰ ἄλλα ζῷα συνεπίσταται τοῦτο, καὶ ἁλίσκεται τὸν τρόπον τοῦτον· ἡ πάρδαλις τροφῆς δεομένη ἑαυτὴν ὑποκρύπτει ἢ λόγχῃ πολλῇ ἢ φυλλάδι βαθείᾳ, καὶ ἐντυχεῖν ἐστιν ἀφανής, μόνον δὲ ἀναπνεῖ. οὐκοῦν οἱ νεβροὶ καὶ δορκάδες καὶ τὰ τοιαῦτα τῶν ζῴων, ὡς ὑπό τινος ἴϋγγος τῆς εὐωδίας ἕλκεται, καὶ γίνεται πλησίον· ἡ δὲ ἐκπηδᾷ καὶ ἔχει τὸ θήραμα ⋮ Πάρδαλις Καρικὴ καὶ Λυκιακὴ οὐκ ἔστι μὲν θυμική, οὐδὲ οἵα σφόδρα ἁλτικὴ εἶναι, τὸ σῶμα δὲ μακρά· τιτρωσκομένη δὲ καὶ δόρασι καὶ αἰχμαῖς ἀντίτυπος ἐστί, καὶ οὐ ῥᾳδίως τῷ σιδήρῳ εἴκει, τοῦτο δὴ τὸ Ὁμηρικὸν δρῶσα, Ἦ ῥά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγε ι . Φιλίππου Ἀλεκτρυών : ὄνομα στρατηγοῦ.

17 85 ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων. Φιλέψιος ὅδε τὸν τρόπον : ἐπὶ τῶν φιλοπαιγμόνων· οὗτος γὰρ μεταξὺ τῶν δημηγοριῶν μύθους ἔλεγε.

17 86 κεκωμῴδηται δὲ εἰς πανουργίαν. Τὸ φ μετὰ τοῦ ο.

17 87 Φοινίκων συνθῆκαι : οἱ τὴν Καρχηδόνα κτίσαντες Φοίνικες, ὅτε προσέπλευσαν τῇ Λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων δέξασθαι αὐτοὺς νύκτας καὶ ἡμέρας· ἐπιτυχόντες δὲ τούτου οὐκ ἐβούλοντο ἀπαλλάσσεσθαι ὡς συντιθέμενοι νύκτας καὶ ἡμέρας μένειν· διὸ λέγεσθαι τοῦτο ἐπὶ τῶν ἐνεδρευτικῶς συντιθεμένων. τὰ δ’ ὅμοια καὶ Δήμων ἐπὶ Μεταποντίνων ἱστορεῖ. Φόνου πτερόν : ἢ , θανάτου πτερόν : ὁ ὀϊστὸς λέγεται.

17 89 Φοινικήϊα γράμματα : ἤγουν ἀρχαιότατα. Λυδοὶ καὶ Ἴωνες τὰ γράμματα ἀπὸ Φοίνικος Ἀγήνορος τοῦ εὑρόντος. τούτοις δὲ ἀντιλέγουσι Κρῆτες, ὡς εὑρέθη ἀπὸ τοῦ γράφειν ἐν φοινίκων πετάλοις. Κάμων δ’ ἐν δευτέρᾳ τῶν εὑρημάτων ἀπὸ Φοινίκης τῆς Ἀκταίονος ὀνομασθῆναι. μυθεύεται δ’ οὗτος ἀρσένων μὲν παίδων ἄπαις, γενέσθαι δὲ αὐτῷ θυγατέρας, Ἀγλαύρην, Ἕρσην, Πάνδροσον· τὴν δὲ Φοινίκην ἔτι παρθένον οὖσαν τελευτῆσαι· διὸ καὶ Φοινικήϊα γράμματα τὸν Ἀκταίονα εἰπεῖν, βουλόμενον τινὸς τιμῆς ἀπονεῖμαι τῇ θυγατρί. Φορμίωνος στιβάς : ἐπὶ τῶν εὐτελῶν.

17 91 Φοινίκων αὖθις ἐπιθυμεῖ : ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνεται ⋮ Ὁ Φοίνιξ τὸ ζῷον ἄνευ λογικῆς οἶδε συμβαλεῖν ἀριθμὸν πεντακοσίων ἐτῶν οὐ δεδεημένος δακτύλων εἰς ἐπιστήμην ἀριθμητικῆς· καὶ οἱ μὲν ἱερεῖς περὶ τῆς ἀφίξεως ἀριθμοῦντες τὰ ἔτη προσδέχονται· ὁ δὲ πάρεστιν· οἱ δὲ θύουσι καὶ σχολὴν ἄγουσι τοῦ ἡλίου ἐν ταῖς λέσχαις καταδύοντος, ὅσα δ’ ὄρνιθες οὐκ ἴσασιν. ἐκεῖνα δέ, ὦ πρὸς τῶν θεῶν, οὐ σοφὰ εἰδέναι; ποῦ μὲν Αἴγυπτος ἐστί, ποῦ δὲ Ἡλιούπολις, ἔνθα αὐτῷ πέπρωται ἥκειν, καὶ ὅποι ποτὲ τὸν πατέρα καταθέσθαι χρή, καὶ ἐν θήκαις τίσι; ταῦτα δὲ εἰ μὴ δοκεῖ, θαυμαστά, ἆρά γε τὰ ἐνόπλια καὶ ἀγοραῖα καὶ τὰς κατ’ ἀλλήλων ἐπιβουλὰς ἐροῦμεν σοφίαν; ἐμοὶ μὲν οὐ δοκεῖ, ὦ Σισύφων καὶ Τελχίνων καὶ Κερκώπων ζηλωταὶ ἄνθρωποι· λέγω δὲ πρὸς τοὺς ἀκριβοῦντας ταῦτα. Φοβερὸν καὶ τὸ παθεῖν ὑπὸ τυράννου καλῶ ς .

17 93

Φοβερώτερόν ἐστι στρατόπεδον ἐλάφων ἡγουμένου λέοντος , ἢ λεόντων ἐλάφου : Χαβρίας εἴωθε τοῦτο λέγειν. Φοίβου πό τ ʼ οὐκ ἐῶντος ἔσπειρεν τέκνα : ἐπὶ τῶν ἐχόντων θυγατέρας ἀμορφοτάτας.

17 95t Τὸ φ μετὰ τοῦ ρ. Φρουρᾶς ᾄδων : ἐπὶ τῶν ἀγρυπνούντων.

17 96 Φρουρεῖν ἢ πλουτεῖν : ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων. Φράσω σου τοῖς σοροπηγοῖς τὴν μανίαν : ἐπὶ τῶν ἄξια θανάτου πραττόντων.

17 98 Φρουρήσεις ἐν Ναυπάκτῳ : ὅτι λόγος μισθὸς ἐδίδοτο τοῖς Ναύπακτον φρουροῦσι τῶν ἐπιτηδείων πολλῶν πιπρασκομένων· ἢ ὅτι Φίλιππος ἑλὼν Ναύπακτον Ἀχαιῶν γνώμῃ τοὺς φρουροὺς αὐτὸς ἀπέκτεινε πάντας. Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγο ς .

17 100 Φρὺξ μηδὲν ἧττων Σπινθάρου : οὗτος ὁ Σπίνθαρος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρύξ. Φρὺξ ἀνὴρ πληγεὶς ἀμείνων καὶ διακονέστερος : ἐπεὶ δοκοῦσιν ἀργότεροι καὶ νωχελέστεροι εἶναι οἱ Φρύγες οἰκέται.

18 2 Φρυνώνδας ἄλλος : ἐπὶ τῶν πονηρῶν· καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ, Ὦ μιαρ ὲ , καὶ Φρυνώνδ α , καὶ πονηρὲ σ ύ . λέγεται δὲ καὶ ἐπὶ μάγων, ὡς Εὔδημος φησί. Φρυνίχου πάλαισμα : ἐπὶ τῶν πονηρῶν καὶ δολίων.

18 3 Φρύνιχος στρατηγὸς Ἀθηναίων, οὗ στρατηγοῦντος Ἀθηναῖοι ἡττήθησαν καὶ πολλὰ αὐτῷ ὡς προδόντι τὸν πόλεμον προσεκρούσθησαν. Τὸ φ μετὰ τοῦ υ.

18 4 Φυλακὴν γυμνῷ ἐπιτάττεις : φανερὰ ἡ παροιμία. τίς γὰρ γυμνὸς φυλάττων ὑποσταίη βέλη καὶ λίθους καὶ ξίφη; Τὸ φ μετὰ τοῦ ω.

18 5 Φώκου ἔρανος : ἐπὶ τῶν εὐωχίας συνταττόντων ἐπὶ τῷ ἑαυτῶν κακῷ. Φῶκος γάρ τις θυγατέρα ἔχων ἐπὶ γάμον ἀνεβάλλετο τὸν γάμον· ἐφʼ ᾧ ὀργισθέντες οἱ μνηστῆρες ἀπέκτειναν αὐτόν. Φωνά τοι τίς ἐντι καὶ οὐδὲν ἄλλο : Τίλλας Λάκων εἶπε τοῦτο ἀηδόνα λαβὼν καὶ βραχεῖαν σάρκα ὁρῶν.

18 7t Ἀρχὴ τοῦ χ στοιχείου. Τὸ χ μετὰ τοῦ α. Χαλεπὰ τὰ καλά : Πιττακὸν ἀποτιθέμενον τὴν ἀρχὴν πρὸς τοὺς θαυμάζοντας εἰπεῖν, Χαλεπὸν ἐσθλὸν ἔμμεναι · Σόλωνα δὲ μαλακίαν αὐτοῦ καταγνόντα φάναι, Χαλεπὰ τὰ καλ ά .

18 7 φασὶ δὲ Περίανδρον τὸν Κορίνθιον καταρχὰς μὲν εἶναι δημοτικόν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα τυραννικὸν γενέσθαι· ὅθεν ἡ παροιμία. οἱ δὲ τὰ χαλεπὰ ἀντὶ τοῦ ἀδύνατα τιθέασιν, ὡς μηδὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην. Χαίροις Ὑψιπύλη φίλη · τοὺς ἐμοὺς κορύμβους πλέκω · οὔ σοι λέγω περὶ τούτου · οὑμὸς ἄκοιτις ἐνταῦθα : ἡ παροιμία τάττεται ἐπὶ τῶν λεγόντων ἀσύμφωνα καὶ ἀκατάλληλα.

18 8 ὁμοία τῇ· Ἐγὼ σκόροδά σοι λέγ ω , σὺ δὲ κρόμμ υ ʼ ἀποκρίν ῃ . Χαμαιλέοντος εὐμεταβολώτερος ⋮ Ὁ χαμαιλέων τὸ ζῷον εἰς ἰδίαν μίαν χρόαν οὐ πέφυκεν οὔτε ὁρᾶσθαι, οὔτε γνωρίζεσθαι, κλέπτει δʼ αὐτὸν πλανῶν τε καὶ παρατρέπων τὴν τῶν ὁρώντων ὄψιν· εἰ γὰρ περιτύχοις μέλαν τὸ εἶδος, ὁ δὲ ἐξέτρεψε τὸ μόρφωμα εἰς χλωρότητα, ὡς οὖν μεταμφιασάμενος· εἶτα μέντοι ἀλλοῖος ἐφάνη λευκότητα ὑποδύς, καθάπερ προσωπεῖον ἕτερον ἢ στολὴν ὑποκριθεὶς ἄλλην.

18 9 φαίη ἂν οὖν τις καὶ τὴν φύσιν μὴ καθέψουσαν μηδὲ ἐπιχρίουσαν φαρμάκοις, ὥσπερ Μήδειαν ἢ Κίρκην καὶ ἐκείνην φαρμακίδα εἶναι ⋮ Λέγεται καὶ τοῦτο περὶ αὐτοῦ, ὅτι κάρφος πλατὺ καὶ στερεὸν ἐνδακὼν ἑαυτὸν ἐπιστρέφει, καὶ ἀντιπρόσωπος ὁμόσε χωρεῖ τῷ ὄφει· ὁ δὲ αὐτοῦ λαβέσθαι ἀδυνατεῖ, τοῦ κάρφους τὸ πλάτος οὐκ ἔχων περιχανεῖν· οὐκοῦν ἄδειπνος τό γε ἐπʼ ἐκείνῳ μένει ὁ ὄφις. Χαλάσω τὴν ἱερὰν ἀγκύραν : ἐπὶ τῶν ἐν κινδύνοις φευγόντων εἴς τινα δύνατον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18 11 Χαλεπὸν χορίου κύνα γεύειν : ἐπὶ τῶν ἐπὶ μικρῶν κακῶν χωρούντων εἰς μεγάλα. τὸ ἔλυτρον τοῦ ἐμβρίου χόριον καλεῖται· οἱ δὲ κύνες γευσάμενοι τούτου καὶ τοῖς ἐμβρίοις διὰ τὸ λιχνὸν ἐπιβουλεύουσι. Χαραδριὸς ἕτερος : ἐπὶ τῶν ἀποκρυπτομένων.

18 12 ἐπεὶ γὰρ οὗτος τοὺς ἰκτεριῶντας ὠφελεῖ ὀφθείς, τοῦτο οἱ πωλοῦντες κρύπτουσιν, ἵνα μή τις πρὸ τοῦ ὠνήσασθαι ἰαθῇ. οἱ δέ φασιν οὐ τοὺς ἰδόντας τὸν χαραδριόν, ἀλλὰ τοὺς φαγόντας τῆς νόσου παύεσθαι. ἀλλ’ οὗτοι μὲν οὕτως. ὁ δέ γε Αἰλιανὸς οὕτω περὶ χαραδριοῦ φυσιολογεῖ· Χαραδριοῦ ἦν ἄρα δῶρον τοῦτο, οὐ μὰ Δι’ ἀτιμάζειν ἄξιον· ἢν γοῦν ὑπαναπλησθεὶς τὸ σῶμα ἰκτέρου τις, εἶτά οἱ δριμὺ ἐνορῴη, ὁ δὲ ἀντιβλέπει καὶ μάλα ἀτρέπτως, ὥσπερ οὖν ἀντιθυμούμενος, καὶ ἡ τοιάδε ἀνάβλεψις ἰᾶται τοῦ προειρημένου πάθους τὸν ἄνθρωπον. Χάρητος ὑπόσχεσις : ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων, μηδαμῶς δὲ ἢ δυσκόλως παρεχόντων.

18 13 Χάρης γὰρ ὁ στρατηγὸς Ἀθηναίων εὐχερής τε καὶ ἑτοιμότατος πρὸς τὰς ὑποσχέσεις ἐγένετο μέν, οὐκ ἐπετέλει δέ γε. Χαῖ ρ ’ ὦ φίλον φῶς : γυναῖκα βουλομένην ἀκολασταίνειν σβέσαν τὸν λύχνον φασὶ τοῦτο εἰπεῖν· ἕτεροι δὲ γραῦν.

18 15 Χαιρεφῶν αὐτόχρημα : ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν· καὶ ἐπὶ τῶν διεστώτων ἐκ τῶν ἀδελφῶν σφίσιν· οὗτος γὰρ σφόδρα ἤχθρευσε τῷ ἀδελφῷ· οὓς ὁ Σωκράτης συνῆγε λέγων, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν οὐδὲ ποδῶν. Χάρωνος θύρα : δι’ ἧς οἱ κατάδικοι ἐπὶ τῷ θανεῖν ἐξήρχοντο.

18 17 Χάρης ᾄδων ὄρθιον : ἐπὶ τῶν εὐφώνων· ὁ γὰρ Χάρης αὐλητὴς Θηβαῖος ἦν· ὄρθιος δὲ αὐλητικὸς νόμος οὕτω καλούμενος, εὔτονος καὶ ἀνάτασιν ἔχων· καὶ Ὅμηρος· Ἔνθα στᾶ ς ’ ἤϋσε θεὰ μέγα δεινόν τ ’ ὄρθ ι ’ Ἀχαιοῖ ς . Χαρὰν πυραύστου χαίρεις : ἐπὶ τῶν διὰ μικρὰν ἡδονὴν ἑαυτοὺς φθειρόντων ⋮ Ὁ γὰρ πυραύστης ζῷον ἐστίν, ὅσπερ οὖν χαίρει μὲν τῇ λαμπηδόνι τοῦ πυρός, καὶ προσπέταται τοῖς λύχνοις, ἐνακμαζούσῃ ἔτι φλογί, καὶ δοκεῖ τι λήψεσθαι· ἐμπεσὼν δὲ ὑπὸ ῥώμης εἶτα μέντοι καταπέφλεκται.

18 18 μέμνηται δὲ αὐτοῦ καὶ Αἰσχύλος λέγων· Δέδοικα μωρὸν κάρτα πυραύστου μόρο ν . Τὸ χ μετὰ τοῦ ε.

18 19 Χελώνη μυῶν : ἐπὶ τῶν ἀφροντίστων τινός· τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παῤῥησίας ἔλαττον ἔμελλε ν , ἢ χελώνῃ μυῶν ⋮ Φαγοῦσα ὄφεως χελώνη καὶ ἐπιτραγοῦσα ὠριγάνου ἐξάντης γίνεται τοῦ κακοῦ, ὃ πάντως αὐτὴν ἐκ τῆς τροφῆς ἀναιρεῖν ἔμελλεν ⋮ Αἱ χελῶναι αἱ θαλάττιαι ἐν τῇ γῇ τίκτουσι καὶ καταχωννύουσιν ἐν αὐτῇ τὰ ὠὰ καὶ ὑποστρέφουσιν· εἰσὶ δὲ ἐς τοσοῦτον λογιστικαί, ὡς ἀφ’ ἑαυτῶν ἐκλογίζεσθαι τὰς ἡμέρας τὰς τεσσαράκοντα, ἐν αἷς τὰ ἔκγονα αὐταῖς τῶν ὠῶν συμπαγέντων ζῷα γίνεται· ἀποστρέψασαι δὲ εἰς τὸν χῶρον, ἐν ᾧ ἔκρυψαν τὰ ἑαυτῶν βρέφη, ὀρύσσουσι τὴν γῆν ἣν ἐπέβαλλον, καὶ κινουμένους ἤδη τοὺς νεοττοὺς καὶ ἕπεσθαι δυναμένους αὐταῖς, ἀπάγουσι. Χειμὼν ὀρνιθίας : σφοδρός, ἐν ᾧ τὰ ὄρνεα φθείρεται.

18 20 λέγεται καὶ ἄνεμος ὀρνιθίας. Χειρώνειον ἕλκος : ἤτοι ἀνήκεστον.

18 22 Χειμάσει ποτὲ καὶ ἐ φ ’ ἡμᾶς ἡ ἀπὸ τῶν ὀρῶν νεφέλη : ἐπὶ τῶν προσδεχομένων τινὰ κακὰ μετ’ ὀλίγον ἐλευθησόμενα ⋮ Φάβιος Μάξιμος Ἀννίβᾳ μάχεσθαι μὴ βουλόμενος, ἀλλὰ τρίβειν χρόνῳ τὴν δύναμιν αὐτοῦ καὶ χρημάτων ἐνδεᾶ καὶ σιτίων οὖσαν, ἐπηκολούθει διὰ τῶν τραχέων καὶ ὀρεινῶν ἀντιπαρεξιών· καταγελώντων δὲ τῶν πολλῶν καὶ παιδαγωγὸν Ἀννίβα καλούντων, μικρὰ φροντίζων ἐχρῆτο τοῖς αὑτοῦ λογισμοῖς· καὶ πρὸς τοὺς φίλους ἔλεγεν, ὅτι τὸν σκώμματα φοβούμενον καὶ λοιδορίας δειλότερον ἡγεῖται τοῦ φεύγοντος τοὺς πολεμίους. ἐπεὶ δὲ τοῦ συνάρχοντος Μινουκίου καταβαλόντος τινὰς τῶν πολεμίων πολὺς ἦν λόγος ὡς ἀνδρὸς ἀξίου τῆς Ῥώμης, μᾶλλον ἔφη τὴν εὐτυχίαν ἢ τὴν ἀτυχίαν τοῦ Μινουκίου φοβεῖσθαι·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ μετὰ μικρὸν ἐνέδρᾳ περιπεσόντος καὶ κινδυνεύοντος ἀπολέσθαι μετὰ τῆς ἑαυτοῦ δυνάμεως ἐπιβοηθήσας, τῶν τε πολεμίων πολλοὺς διέφθειρε κἀκεῖνον ἔσωσεν. ὁ μὲν οὖν Ἀννίβας εἶπε πρὸς τοὺς φίλους, οὐ πολλάκις ὑμῖν προὔλεγον ἐγὼ τὴν ἀπὸ τῶν ὀρῶν νεφέλην, ὅτι χειμάσει ποτὲ ἐφ’ ἡμᾶς; Χεῖρας ἔχει Φιλοποίμην καὶ σκέλη · γαστέρα δὲ οὐκ ἔχει : ἐπὶ τῶν πολλοὺς μὲν ἱππεῖς καὶ ὁπλίτας ἐχόντων, χρημάτων δὲ οὐκ εὐπορούντων.

18 23 Κόϊντος εἶπε πρὸς Φιλοποίμενα· καὶ γὰρ καὶ τῇ φύσει τοῦ σώματος τοιοῦτος ἐτύγχανεν. Χελώνην Πηγάσῳ κρίνεις : ἐπὶ τῶν τὰ ἀνόμοια συγκρινόντων.

18 25t Τὸ χ μετὰ τοῦ θ. Χθόνια λουτρά : τὰ τοῖς νεκροῖς ἐπιφερόμενα· ἐκόμιζον γὰρ εἰς τάφους λουτρά.

18 26t Τὸ χ μετὰ τοῦ ι. Χίλων δ ’ ἐν κοίλη Λακεδαίμον ι , γνῶθι σεαυτό ν .

18 27 Χλαμὺς Συλώσοντος : ἐπὶ τῶν ἀλαζονευομένων ἐπ’ ἐσθῆτι· οὗτος γὰρ εἶχε χλαμύδα, ἣν Δαρείῳ ἰδιωτεύοντι δωρησάμενος ἔτυχε τῆς εἰς Σάμον καθόδου. Τὸ χ μετὰ τοῦ ο.

18 28 Χόας ἓξ χωρήσει : ἐπὶ τῶν παραπλήγων. τουτέστιν ὁ ἐγκέφαλος αὐτοῦ· ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ· ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. Χορὸς ἀργούντων : ἐπὶ τῶν ἄτοπά τινα διαπραττομένων.

18 30 Χοῖνιξ Κνωδάλου : ἐπὶ τῶν μεγάλοις μέτροις κεχρημένων. Χορὸν δίδωμι : ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾷν· παρὰ γὰρ τοῖς Ἀθηναίοις χοροῦ ἐτύγχανον κωμῳδίας γὰρ καὶ τραγῳδίας ποιηταὶ οὐ πάντες, ἀλλ’ οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες ἄξιοι.

18 32t Τὸ χ μετὰ τοῦ ρ. Χρήμα τ ’ ἀνὴρ , πενιχρὸς δ ’ οὐδέπο τ ’ ἐσθλός : ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων· αὕτη δὲ ἀποφθεγματική ἐστιν ὡς καὶ ἡ· Ἀρχὴ ἄνδρα δείκνυσ ι .

18 32 καὶ ἡ· κατὰ σαυτὸν ἔλ α . καὶ ἡ, γνῶθι σαυτό ν . Χρὴ μὴ τὸ κακὸν διὰ κακοῦ ἀμύνασθαι : ὁ Ἀμίλκας τοὺς τὸν ἀδελφὸν ἀνελόντας συλλαβών, εἵς τε τὸν ἑκάστου πατήσας τράχηλον εἶτα μέντοι ἀπολύσας, ἔφησε τοῦτο, ἀποχρῶσαν δίκην λαβεῖν· ἐπειπὼν ταύτην ἐπὶ τῷ τοῦ ἀδελφοῦ φόνῳ.

18 34 Χρηστοῖσι κυσὶ συμφορὰ τὰ δεσποτῶν μᾶλλον ἢ χρηστοῖσι δούλοισιν, ὦ Εὐριπίδη, κακῶς πιτνῶντα καὶ φρενῶν ἀνθάπτεται. ποῦ γὰρ ἄνθρωπος ἐπὶ τῷ δεσπότῃ τέθνηκε, κυνὸς αὐτὸ δούλου δράσαντος. ὅθεν πεπαροιμίασται, κύων δοῦλος ἀνθρώπου δούλου φιλοδεσποτώτερον ⋮ Λέγεταί τις ἀνὴρ Κολοφώνιος παραγενέσθαι εἰς Τέων συνωνησόμενος τινά· καὶ γὰρ ἦν ἐμπορικός, καὶ τὴν ἐκ τῶν ὠνίων καπηλείαν τε καὶ μεταβολὴν πρόσοδον εἶχεν· ἀργύριον δὲ ἐπήγετο καὶ οἰκέτην καὶ κύνα. ἔφερε δὲ τὸ ἀργύριον ὁ δοῦλος. ἐπεὶ δὲ πρὸ ὁδοῦ ἦσαν, ὁ οἰκέτης ἐξετράπετο, ἤπειγε γάρ τι αὐτὸν τῶν κατὰ φύσιν, ἠκολούθησε δὲ ὁ κύων· τὸ τοίνυν φασκώλιον ἀνέπαυσεν ὁ νεανίας καὶ ἀνελέσθαι πάλιν οὐκ ἐνενόησεν, ἀλλὰ ᾤχετο ὁ δὲ κύων κατακλίνας αὐτὸν ἐπὶ τῷ ἀργυρίῳ ἔμενεν ἥσυχος. ἐλθόντες δὲ εἰς τὴν Τέων ὅ τε δεσπότης καὶ ὁ οἰκέτης, εἶτα μέντοι ἄπρακτοι ἐπανῆλθον, ὅτου ὠνήσονται οὐκ ἔχοντες. τὴν αὐτήν γε μὴν ἐκτρέπονται πάλιν, ἔνθα ὁ οἰκέτης ἀπέλιπε τὸ βαλάντιον, καὶ καταλαμβάνουσι τὸν σφέτερον κύνα ἐπικείμενον αὐτῷ καὶ μόλις ἐμπνέοντα ὑπὸ τοῦ λιμοῦ. ὁ δὲ ὡς εἶδε τὸν δεσπότην καὶ τὸν ὁμόδουλον, ἑαυτὸν ἀποκλίνας τοῦ φασκωλίου, κατὰ τὸν αὐτὸν χρόνον καὶ τὴν φρουρὰν καὶ τὴν ψυχὴν ἀφῆκεν. Χροΐ δῆλα : φασὶ Φερεκύδην τὸν σοφὸν φθειριασίᾳ τελευτῆσαι· Πυθαγόρου γὰρ παραγενομένου καὶ πυνθανομένου πῶς διακέοιτο, προβάλλοντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν· χροΐ δῆλ α .

18 35 καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλοσόφοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται· οἱ δὲ καὶ ἐπὶ τῶν βελτίστων χρώμενοι διαμαρτάνουσι. Χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος : ἐπὶ τῶν πολλὰ λεγόντων.

18 37

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χρυσὸς Κολοφώνιος : οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάζοντο· καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν. Χρυσοῦ λαλοῦντος πᾶς ἀπρακτείτω λόγος· πείθειν γὰρ οἶδε καὶ πέφυκε μὴ λέγειν.

18 39 Χρυσοχοήσειν ᾤου σύ : κέχρηται τῇ παροιμίᾳ Πλάτων· τί δ έ , ἦ δ ' ὃ ς , ὁ Θρασυμάχου χρυσοχοε ῖ ; ἔλαβε δ' ἀρχὴν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ χρυσοῦ ψῆγμα πολὺ φανείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων· οἱ δὲ ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δὲ ὑποστρέψαντες καὶ μάτην κακοπαθήσαντες ἔσκωπτον ἀλλήλους λέγοντες, σὺ δὲ ᾤου χρυσοχοήσειν · ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας χρυσοχοήσειν, ἤγουν πλουτήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν φησίν· Ἡμεῖς πο τ ' ἄνδρας Κεκροπίδας ἐπείσαμε ν , λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλ α . Χρυσῷ καταπάττων ἡμᾶς οὐ γινώσκεις : ἐπὶ τῶν εἰκῇ λοιδορουμένων· ἐπιφέρει γὰρ, νῦν δὲ κόσμος τοῦ τ ' ἐστί μο ι .

18 41 Χρυσοῦς ἐν Ὀλυμπίοις στῆθι : ἤγουν ἐν ταῖς πανηγύρεσι λευχειμόνει. Τὸ χ μετὰ τοῦ υ.

18 42 Χύτραις λημᾶν καὶ κολοκύνται ς . Χύτραν ποικίλλει ν .

18 43 καί· Χύτραν κοσμεῖν : ἐπὶ τῶν ἀδυνάτων. Χυτρεοῦς θεό ς .

18 44 καί· Χυτρεοῦς ἄνθρωπος : ὀστράκινος, εὐτελής. Τὸ χ μετὰ τοῦ ω.

18 45 Χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα : ἐπὶ τῶν ἐναντίων· ὁμοία τῇ· Χωρὶς τὰ Μεῤῥᾶς καὶ Σιλωὰμ ῥεύματ α . Χώρα καὶ νόμος : ὁμοία τῇ · Πόλις καὶ τύπο ς .

18 47 Χωρὶς τό τ ' εἰπεῖν πολλὰ καὶ τὸ καίρι α . Ἀρχὴ τοῦ ψ στοιχείου.

18 48t Τὸ ψ μετὰ τοῦ α. Ψάφωνος ὄρνιθες : ἐπὶ τῶν μεγίστην ἑαυτοῖς δόξαν θηρωμένων ⋮ Ἐν Λιβύῃ ἀνὴρ Λίβυς Ψάφων ὄνομα, ἐρασθεὶς εὐδαιμονίας οὐ ταπεινῆς μὰ Δία, οὐδὲ τῆς περιθεούσης ταύτης, ἀλλὰ ἤθελε γὰρ θεὸς εἶναι δοκεῖν· ξυλλαβὼν οὖν τῶν ᾠδικῶν ὀρνίθων πολλούς, ἐδίδασκεν ᾄδειν τοὺς ὄρνιθας, Μέγας θεὸς Ψάφω ν , καὶ ἠφίει αὖθις ἐπὶ τὰ ὄρη· οἱ δὲ οἱ αὐτοί τε ᾖδον καὶ οἱ ἄλλοι ὄρνιθες ἐθιζόμενοι τῇ φωνῇ.

18 48 Λίβυες δὲ θείαν νομίσαντες εἶναι τὴν φήμην, ἔθυον Ψάφωνι καὶ ἦν αὐτοῖς θεὸς ὑπὸ ὀρνίθων χειροτονούμενος. Τὸ ψ μετὰ τοῦ ε.

18 49 Ψευδῶν πλ έ ' ἀτράφαξις : ἀντὶ τοῦ, πλήρης ψευσμάτων. ἀτράφαξις δέ ἐστιν εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. εἴρηται δὲ ἐπὶ τῶν μετεωριζομένων καὶ ὑψουμένων. Ψευδόμενον οὐ χρὴ ἐλέγξαι διὰ τὸ συμβησόμενον· τοῦτο δ' ἐστὶν ἐπιορκία.

18 51 Ψεκὰς ἢ δρόσος : οὕτως ἐκαλεῖτο Ἀντίμαχος πτυελώδης ὤν· οὗτος δὲ μελῶν ἦν ποιητής. οὕτω δὲ ἐκαλεῖτο, διότι προσεῤῥαινε τοῖς ὁμιλοῦσι διαλεγόμενος. ἐδόκει δὲ Ἀντίμαχος ψήφισμα πεποιηκέναι ὅτι τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι. δεῖ δὲ κωμῳδεῖν ἐξ ὀνόματος, ὡς μὴ καθαρεύοντα ἀνωνύμως. Ψεκάδες ὄμβρον γεννῶσαι λιμνάζουσιν ὕδατα : ἐπὶ τῶν κατὰ μικρὸν ἐπὶ τὰ μείζω χωρούντων.

18 53 Ψευδόπυρα , οἷον τὰ σά : ταῦτα διὰ νυκτὸς γίνεται πρὸς τὴν τῶν πολεμίων κατάπληξιν, ἵνα δείξωσι ὅτι πλῆθος πολὺ στρατοπέδου ἐστί. Τὸ ψ μετὰ τοῦ υ.

18 54 Ψυχὴ δίδου σύ γ ' ἡδονὴν καθ' ἡμέραν, ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ. Ψύρα τὸν Διόνυσον : τὰ Ψύρα εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν.

18 55 Λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. Λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων. Τὸ ψ μετὰ τοῦ ω.

18 56 Ψωριῶσα κάμηλος πολλῶν ὄνων ἀνατίθεται φορτία : ἐπὶ τῶν ἐν γήρᾳ μὲν ὄντων ἢ δυστυχίαις, πολλῶν δὲ ἄμεινον ἐχόντων. Ἀρχὴ τοῦ ω στοιχείου.

18 57t

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὸ ω μετὰ τοῦ δ. Ὤδινεν ὄρος , εἶτα μῦν ἀπέτεκεν : ὅταν ἐλπίσας τις μεγάλα, μικροῖς ἐντύχῃ, ταύτην φαμέν.

18 58t Τὸ ω μετὰ τοῦ θ. Ὦ θνητῶν ἀνδρῶν καὶ ταλαίπωρον γένος, ὡς οὐδὲν ἐσμέν, πλὴν σκιαῖς ἐοικότες βάρος περισσὸν γῆς ἀναστρεφόμενον.

18 59t Τὸ ω μετὰ τοῦ μ. Ὠμητὴς Διόνυσος : ἐπὶ τῶν ὠμότατα καὶ ἀπανθρωπότατα πραττόντων· τούτῳ γὰρ ζῶντας ἀνθρώπους ἔθυον οἱ πάλαι.

18 60t Τὸ ω μετὰ τοῦ ο μίκρου. Ὦ οἵα κεφαλή , καὶ ἐγκέφαλον οὐκ ἔχει : ἐπ’ ἀνδρῶν μεγαλοπρεπῶν μὲν τῷ σώματι, κατὰ ψυχὴν δὲ ἀλογίστων.

18 61 Ὦ οὗτος , κἂν θύλαξ γένῃ οὐ προσελεύσομαί σοι : ἐπὶ τῶν ἅπαξ πειραθέντων μοχθηρίας ἐνίων, οὐκέτι δὲ ἐξαπατωμένων τῇ πείρᾳ ταῖς αὐτῶν ὑποκρίσεσιν. Ὠοῦ ἐξῆλθεν : ἐπὶ τῶν ὡραιοτάτων.

18 62 Ὁ γὰρ Ζεὺς ὁμοιωθεὶς κύκνῳ ἐμίγη τῇ Λήδᾳ καὶ ἐγέννησε δύο ᾠά· ἐκ μὲν τοῦ ἑνὸς ᾠοῦ οἱ Διόσκουροι ἐγεννήθησαν, Κάστωρ καὶ Πολυδεύκης, ἐκ δὲ τοῦ ἑτέρου ἡ Ἑλένη ἡ πάγκαλος· ὅθεν τό, Ἐξ ᾠοῦ ἐγεννήθ η . Τὸ ω μετὰ τοῦ ρ.

18 63 Ὡραιότερος Ὑακίνθου : οὗτος Ἀμυκλαῖον ἦν μειράκιον καὶ καλόν. εἰς τοῦτον εἶδε μὲν ὁ Ἀπόλλων, εἶδε δὲ ὁ Ζέφυρος, καὶ ἄμφω κατείχοντο τῇ μορφῇ καὶ φιλότιμος ἦν ἀφ’ ὧν εἶχεν ἑκάτερος· ἐτόξευε μὲν ὁ Ἀπόλλων, ἔπνει δὲ ὁ Ζέφυρος. μέλη μὲν ἦν τὰ παρ’ ἐκείνου καὶ ἡδονή· φόβος δὲ τὰ παρ’ ἐκείνου καὶ ταραχή· ῥέπει πρὸς τὸν δαίμονα τὸ μειράκιον, καὶ Ζέφυρον ὑπὸ ζηλοτυπίας ὁπλίζει πρὸς πόλεμον. μετὰ ταῦτα ἦν γυμνασία τῷ μειρακίῳ καὶ τιμωρία παρὰ Ζεφύρου. Δίσκος ἦν ὁ πρὸς τὴν ἀναίρεσιν ἐκείνου διακονήσας, ὑπὸ τούτου μὲν ἀφεθείς, ὑπ’ ἐκείνου δὲ ἐνεχθείς· καὶ ὁ μὲν ἐτεθνήκει· τὴν γῆν δὲ οὐκ ἦν ἔρημον ὑπομνήματος ἀφεῖναι τὴν συμφοράν, ἀλλὰ τὸ ἄνθος ἀντὶ τοῦ μειρακίου γίνεται καὶ τοὔνομα δέχεται. λέγουσι δ’ ὅτι καὶ ἡ προσηγορία ἐν φύλλοις ἐπιγέγραπται. Ὡραιότερος πορφυρίωνος : ὁ πορφυρίων ὡραιότατός τε ἅμα καὶ φερωνυμώτατός ἐστι ζῴων, καὶ χαίρει κονιώμενος· καὶ πρότερον δὲ ἑαυτὸν ἐπιδίδωσι κονίστραις καὶ λουτροῖς, πρὶν ἂν βαδίσαι ἀριθμὸν βαδίσεως ἀρκοῦντά οἱ· σιτούμενος δὲ ἐπὶ μαρτύρων ἄχθεται, καὶ διὰ ταῦτα ἀναχωρεῖ καὶ ὑπολανθάνων ἐσθίει.

18 64 ζηλοτυπώτατος δέ ἐστιν ἰσχυρῶς, καὶ τὰς ἀνάνδρους τῶν γυναικῶν παραφυλάττει· τὸν ταὼν μὲν οὖν ὡραῖον ὄντα καὶ καταθύουσι καὶ σιτοῦνται οἱ ἄσωτοι· τοῦ γὰρ ὄρνιθος τὰ μὲν πτερὰ κόσμος ἐστί, τὸ δὲ σῶμα ἦν τι οὐδέν· πορφυρίωνα δὲ οὐκ οἶδα καταθύσαντα οὐδένα ἐπὶ δεῖπνον, οὐ Καλλίαν, οὐχ Ὁρτύσιον τὸν Ῥωμαῖον. Τὸ ω μετὰ τοῦ ς.

18 65 Ὥσπερ ἥρως ἐν ἀσπίδι ξενίσαι βούλομαι : λέγεται ἐπὶ τῶν τοὺς φίλους τοῖς ἑαυτῶν ἔργοις εὐεργετούντων. Ὡς παῖδα φιλοῦσιν ἐρασταί : ἐπὶ τῶν ἐρωτικῶς διακειμένων.

18 67 Ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται : ἐπὶ τῶν ἰσχνῶν καὶ ξηρῶν καὶ φθειρομένων ταχέως. Ἡ δὲ νέα εἰρεσιώνη θαλλὸς ἦν ἐλαίας, ἐστεμμένος ἐρίοις, καὶ προσκρεμαμένους ἔχων παντοδαποὺς τῶν ἐκ γῆς καρπῶν. τοῦτον δὲ ἐκφέρει παῖς ἀμφιθαλὴς καὶ τίθησι πρὸ τῆς θύρας τοῦ Ἀπόλλωνος ἱεροῦ τοῖς Πιανεψίοις. λέγεται γὰρ Θησέα καθ’ ὃν καιρὸν εἰς Κρήτην ἔπλει, προσχόντα Δήλῳ διὰ χειμῶνα, εὔξασθαι τῷ Ἀπόλλωνι, καταστέψασθαι κλάδοις ἐλαίας, ὅταν σωθῇ τὸν Μινώταυρον ἀποκτείνας, καὶ θυσιάσειν, καὶ τὴν ἱκετηρίαν ταύτην καταστέψας ἑψῆσαι χύτρας αἰθάλης καὶ ἔτνος καὶ βωμὸν ἱδρύσασθαι· διὸ καὶ Πυανέψια δοκεῖ λέγεσθαι, οἷον κυαμέψια· τὸ γὰρ πρότερον τοὺς κυάμους πυάμους ἐκάλουν. ἦγον δὲ ἔσθ’ ὅτε ἐπὶ ἀποτροπῇ λοιμοῦ· ᾖδον δὲ παῖδες οὕτως· Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους· καὶ μέλι ἐν κοτύλῃ, καὶ ἔλαιον ἀποθήσασθαι, καὶ κύλικ’ εὔζωρον· ὅπως μεθύουσα καθεύδῃς. Μετὰ δὲ τὴν ἑορτὴν ἔξω τῶν ἀγρῶν τιθέασι παρ’ αὐτὰς τὰς θύρας. Κράτης δὲ ὁ Ἀθηναῖος ἐν τῷ περὶ Ἀθήνησι θυσιῶν, ἀφορίας ποτὲ κατασχούσης τὴν πόλιν θαλλὸν καταστέψαντας ἐρίοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱκετηρίαν ἀναθεῖναι τῷ Ἀπόλλωνι. Ὡς τοῦ Φινέως τὸν βίον : ἐπὶ τῶν κακῶς ἀποβαλλομένων τὰ ὄντα. [20]

18 68 ἱστοροῦσι περὶ Φινέως, ὡς διεφόρουν Ἅρπυιαι τὸν βίον αὐτοῦ· δοκοῦσι δὲ ἔνιοι θηρία καὶ πετεινὰ εἶναι ταῦτα, ἁρπάζοντα ἀπὸ τῆς τραπέζης τοῦ Φινέως τὸ δεῖπνον. ἡ δὲ ἀλήθεια ἔχει οὕτως. Φινεὺς ἦν Παιονίας βασιλεὺς, ὃν γέροντα γεγονότα ἡ ὄψις ἀπέλειψεν, οἵ τε ἄῤῥενες παῖδες ἀπέθανον· θυγατέρες δὲ ἦσαν αὐτῷ Πυρία καὶ Ἐρευσία, αἵτινες τὸν τοῦ πατρὸς βίον διέφθειρον. ἔλεγον οὖν οἱ πολῖται, δύστηνος ὁ Φινεύς, ὅτι αἱ Ἅρπυιαι τὸν βίον αὐτοῦ διαφθείρουσιν. οἰκτείραντες δὲ αὐτοὺς Ζῆθος καὶ Τάλαϊς, ἀστυγείτονες αὐτῶν, Βορείου παῖδες ἀνδρὸς οὐκ ἀσήμου, βοηθήσαντες αὐτῷ τὰς θυγατέρας ἐξήλασαν ἐκ τῆς πόλεως, καὶ τὰ χρήματα συναθροίσαντες ἐπίτροπόν τινα κατέστησαν τῶν Θρᾳκῶν. Ὡς πολλῷ κάλλιο ν , ὦ φίλαι, ἐστὶν ἐν παρατάξει νικῶντα τελευτᾶν ἢ τὰ Ὀλύμπια περιγινόμενον ζῆν: Λάκαινα πομπὴν τελοῦσα πάνδημον ἤκουσεν ἐπὶ τῆς παρατάξεως νικᾶν τὸν υἱόν, ἐκ δὲ τῶν τραυμάτων πολλῶν λεγομένων θνήσκειν· οὐ περιελομένη οὖν τὸν στέφανον, ἀλλὰ σεμνυνθεῖσα, πρὸς τὰς πλησίον τοῦτ’ εἶπεν. [5]

18 70 Ὥσπερ ἑωλοκρασίαν μου καταχέεις : τάττεται ἐπὶ ὕβρεως. οἱ γὰρ νέοι ἑωλοκρασίαν κατεσκεύασαν ἀνδρῶν φιλοσόφων, ἡνίκα συνέπινον ἀλλήλοις παρ’ Ἀθηναίοις, ἐπὶ ἑκάστου κρατῆρος οἶνος ἐτίθετο, καὶ εἴ τις ἐκάθευδε μὴ πιὼν τὸν ἴδιον κρατῆρα, πρωῒ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐξεχέετο, καὶ ἐκαλεῖτο τοῦτο ἑωλοκρασία, κυρίως δὲ τὸ χθιζὸν βρῶμα. Τὸ ω μετὰ τοῦ τ. [5]

18 71 Ὠτίων πιστότεροι ὀφθαλμοί : ἐπὶ τῶν ἀλόγως τὰ μείω τοῖς κρείττοσι παραβαλλομένων ⁝ Ἰστέον δ ’ ἄν σοι εἴη, ὡς τὸ ἀκούω οὐ μόνον γενικῇ ἀλλὰ καὶ αἰτιατικῇ συντάσσεται, ὡς καὶ τὰ ἄλλα πάντα κατηγορήματα τῶν αἰσθήσεων πλὴν τῆς ὁράσεως· ἐκείνη γὰρ μόνη αἰτιατικῇ ἅτε βασιλικωτέρα τῶν ἄλλων οὖσα καὶ ἐφ’ ἑνὸς ἱδρύεσθαι μόνον προσήκουσα, ἀλλ’ οὐκ ἄνω καὶ κάτω φέρεσθαι. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org